Griechisches

Lesebuch

für

Lateinschulen.

Von

Dr. G. Friedlein.

I. Theil.

Bamberg.

Buchner'sche Buchhandlung.

1859.

Druck von Junge & Sohn in Erlangen.

Vorwort.

Als mir die Gelegenheit geboten wurde, für die Lateinschulen Bayerns ein griechisches Lesebuch zusammenzustellen und zu bearbeiten, hatte ich wohl guten Grund zu fragen, ob nach den anerkannt sehr brauchbaren Leistungen von Jacobs (Classen) und Halm eine solche Arbeit Beachtung finden würde. Ich konnte anführen, daß beide Werke bereits so lange in unseren Schulen benützt werden, daß ein Wechsel nicht unwillkommen, vielleicht sogar räthlich ist. Aber dieses genügte mir nicht; sondern es entschied bei mir die Ansicht, daß es gut sein würde, wenn die Ordnung bei Halm mit dem gefälligeren Inhalt bei Jakobs könnte verbunden werden.

Dieß zu erreichen gab ich mir möglichst Mühe und eine Prüfung meiner Arbeit wird es darthun, daß ich stets bei der Auswahl und Ordnung der Beispiele diese Richtung einhielt. Dieselbe Prüfung wird auch darthun, daß ich nicht meinte, keine weitere Sorge zu haben, als die Beispiele bei Jacobs in der Weise Halm's zu ordnen, sondern daß ich in den geeigneten Schriftstellern selbst suchte, wenn auch oftmals viele Stunden lang zu lesen war, um einige entsprechende Sätze zu gewinnen. Daß ich dabei Sätze nicht blos aus den genannten beiden Büchern, sondern auch aus den ähnlichen Werken von Rost, Gaupp und Holzer, Gottschick, und aus den Grammatiken von Krüger, Buttmann, Bäumlein benützte, wird mir von Niemand verargt werden. Es wird solche Sätze aber, wer

nachsuchen will, nur in bescheidener Anzahl finden, wenn er wissen wird, welche ich mir aus derselben Quelle, wie jene Männer, selbst holte.

Dagegen denkt vielleicht Mancher, ich hätte, wenn ich das Lesebuch von Gottschick kannte, mir lieber dieses zum Vorbild nehmen und Deklination und Conjugation in ähnlicher Weise verbinden und ordnen sollen. Mein Grund ist: mich hielt die Ueberzeugung ab, daß es nur unter besonderen Umständen räthlich ist, Uebungsbücher so einzurichten, daß sie einen bestimmten Lehrgang voraussetzen. Einem selbstdenkenden Manne vorzuschreiben, was er jedes Mal geben und lehren soll, ist wider die Natur desselben und kann nur lähmend wirken, wenn derselbe nicht freiwillig der Weisung sich fügt, und in der vorgezeichneten Ordnung wie in einer selbstgeschaffenen lebt. Deßhalb stellte ich, wie Halm, eine übersichtliche Ordnung her, von der ich hoffen kann, daß jeder Lehrer nach seiner Weise Brauchbares leicht finden wird.

Die Schüler aber brachte ich dadurch so wenig um einen bequemen Weg zur Erlernung der griechischen Sprache, daß ich vielmehr überzeugt bin, ihnen Mittel geboten zu haben, dieselbe mit der Freude eigenen, von Erfolg belohnten Denkens nach ihren Kräften gründlich kennen zu lernen. Während Gottschick sich bemüht dahin zu sehen, 'daß nie eine Form vorkomme, die der Schüler nicht nach dem schon Erlernten zu erklären verstände' halte ich es für einen Gewinn für den Schüler nicht blos im Wiedererkennen des Gelernten geübt zu werden, sondern auch Neues kennen zu lernen, dessen Verständniß ihm noch eröffnet werden soll. Wer wüßte es nicht, daß gerade gelegentlich Gelerntes am besten sich einprägt, und daß es immer guten Erfolg hat, auf bekannte Fälle zurückweisen zu können. Während ferner Gottschick veranlaßt ist, dem Verbum *εἰμί* eine viel größere Rolle zu geben, als es in der griechischen Sprache hat, bieten die Beispiele mit anderen Zeitwörtern bei der Wiederholung neuen Stoff zur Einübung der Formen derselben; wozu noch kommt, daß der Unterricht in

der Grammatik ohne besondere Mühe bald einen solchen Vorsprung vor dem Lesen im Uebungsbuch haben kann, daß bei letzterem eine immerwährende Wiederholung des Gelernten stattfindet, wenn die Sätze nicht ausschließlich nur einem Zwecke dienen.

Freilich ist dabei Vorsicht anzuwenden, daß dem Schüler nicht unüberwindbare Schwierigkeiten in den Weg kommen, und ich ließ es mir daher vor allem angelegen sein 'keine Form, die der Schüler noch nicht bilden gelernt hat, unerklärt zu lassen'. Ja ich erklärte lieber manche Formen, die ein fleißiger Schüler auch selbst finden könnte, um ein allzulanges Suchen bei denselben, welches so leicht verdrossen macht, um so gewisser zu verhüten. Mit den syntaktischen Regeln hielt ich es in folgender Weise. Was ein Schüler der III. Klasse aus seiner lateinischen Grammatik bereits weiß, wird nur angedeutet, nicht erklärt; dagegen wird alles hervorgehoben, was von dem Lateinischen und Deutschen abweicht. Ich versuchte dabei eine Ausdrucksweise die auch dem schwächeren Schüler verständlich sein kann, ohne der richtigen Erkenntniß, so weit sie auf dieser Stufe stattfinden soll, einen Eintrag zu thun. Die Mannichfaltigkeit der Sätze hat manche Ungleichheit mit sich gebracht, die auf den ersten Blick, besonders im Wörterverzeichniß, ein willkührliches und wenig sorgfältiges Verfahren anzuzeigen scheint. Genauere Betrachtung wird aber zeigen, daß überall die Erfordernisse der einzelnen Sätze maßgebend waren. Doch ist dieser Umstand ein Grund, warum eine Scheidung in 2 Theile stattfand. Die Erklärung der Abschnitte und die Einrichtung des Wörterverzeichnisses muß im 2. Theile anderen Richtungen folgen, welche sich bei einer Trennung von den Vorübungen besser werden einhalten lassen.

In einem Punkte that ich vielleicht manchem zu viel; ich meine in der Angabe der Bindewörter zur Uebersetzung der griechischen Participia. Es bestimmte mich dazu die Erfahrung, daß auch bessere Schüler viele Mühe damit haben. Der Grund liegt nahe. Es ist zu viel verlangt, aus den oft nicht einmal richtig erfaßten Bedeutungen zweier Verba ihr Verhältniß zu

einander zu entnehmen, durch welches die Anwendung des einen oder des anderen Bindewortes doch bedingt ist. Uebrigens gilt von diesen Angaben, wie von allen Uebersetzungen, die in den Anmerkungen stehen, daß sie dem Schüler nur zu gehöriger Vorbereitung dienen sollen, und der freieren Uebersetzung nicht vorgreifen wollen, welche der Lehrer der Classe für gut findet.

Was endlich die äußere Ausstattung betrifft, so hat die Verlagshandlung das Möglichste gethan, und es wird das Buch dadurch gewiß empfohlen.

Möge es nun solchen Anklang und Eingang finden, als es mit Lust und Liebe zur Sache entstanden ist. Jede Mittheilung über dasselbe, öffentlich oder unmittelbar an mich, wird die sorgfältigste Beachtung finden.

Erlangen, den 2. August 1859.

Dr. Friedlein.

Vorbemerkungen.

1) Die Präparation jedes einzelnen Satzes ist mit dem Verbum finitum anzufangen, bei welchem die weitere Construktion, wo es nöthig ist, mit Fragen, und den darauf antwortenden Casus angegeben ist.

2) Von den Formen, für welche die einzelnen Abschnitte Beispiele sein sollen, muß die Ableitung aus der Grammatik bekannt sein oder dort nachgesucht werden. — Femininformen von Adjektiven, deren Ableitung nicht angegeben ist, gehören zu Adjektiven auf ος. — Verbalausdrücke, von denen nicht angegeben ist, welche Formen sie sind, sind dieselben, wie die deutschen Verbalausdrücke. — Findet sich ein Wort, welches der Schüler nicht abzuleiten weiß, in den Anmerkungen nicht erklärt, so steht dasselbe mit Angabe der Ableitung im Wörterverzeichniß.

3) Wörter, deren Bedeutung aus der Grammatik für einen Abschnitt bekannt sein müssen, sind nicht im Wörterverzeichniß angegeben, wenn nicht andere Beispiele ihre Erklärung erfoderten, und sind deßhalb in der Grammatik nachzusuchen.

4) Ist die Uebersetzung einer Präposition aus dem bei der

Präposition im Wörterverzeichniß Angegebenen nicht zu finden, so ist noch bei dem Substantivum nachzusehen, vor welchem die Präposition steht. — Zur Uebersetzung der Participien sind die erforderlichen Bindewörter angegeben. Heißt es dabei mit 'und', so ist damit gemeint, daß aus dem griechischen Participium ein Verbum finitum werden und das schon vorhandene Verbum finitum mit 'und' angereiht werden soll.

5) Von den Abkürzungen ist: s. = sieh!, vgl. = vergleiche, sc. = scilicet, es ist zu ergänzen, verb. = verbinde, tr. = transitiv, intr. = intransitiv, 3. s. = dritte Person singularis, wornach die übrigen leicht gedeutet werden können. —

I.

Feminina der 1. Deklination.

1. Ῥώμη ψυχῆς ἐστι σωφροσύνη. 2. Ἰσχὺς μὲν ψυχῆς ἐστιν ἀνδρεία καὶ καρτερία, κάλλος δὲ δικαιοσύνη. 3. Ἡ ἀρετὴ τέχνης περίεστι[1] καὶ μελέτης ἁπάσης[2]. 4. Πᾶσα[3] ἐπιστήμη ἄνευ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, ἀλλ' οὐ σοφία ἐστίν. 5. Φρόνησις μὲν τύχης δεῖται[4], σοφία δὲ οὐ δεῖται. 6. Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται[5]. 7. Εὔκλεια μάλιστα ἕπεται[6] τῇ ἀρετῇ. 8. Ῥώμη ἀμαθὴς πολλάκις τίκτει[7] βλάβην. 9. Ἐξ ἀγωγῆς κακῆς καὶ ὁμιλίας πονηρῶν[8] μάλιστα κακοὶ[9] γίγνονται[10]. 10. Συγγνώμη τιμωρίας[11] ἐστὶ κρείσσων. 11. Ἡ φιλοσοφία ὄρεξίς ἐστι τῆς θείας σοφίας. 12. Μωρία ἀδελφή ἐστιν πονηρίας.

13. Ἐκ νεφέλης φέρεται[12] χιόνος[13] μένος ἠδὲ χαλάζης,
Βροντή τ' ἐκ λαμπρᾶς γίγνεται[14] ἀστεροπῆς.

14. Ἐμπειρία τῆς ἀπειρίας κρατεῖ[15]. 15. Ἄνευ εὐνοίας οὐδὲν[16] ὄφελός ἐστιν οὐδεμιᾶς[16] ἐπιστήμης. 16. Αὐθάδεια ἐρημίας ἐστὶ σύνοικος. 17. Ἀλήθεια μεσότης ἐστὶν εἰρωνείας καὶ ἀλαζονείας. 18. Ἀκολουθεῖ[17] τῇ ἀκρα-

---

1) *übertrifft*, von περίειμι, wen? gen. 2) von ἅπας. Verb. ἀπ. τεχ. κ. μελ. 3) v. πᾶς. 4) *bedarf*, v. δέομαι. 5) *wird auferlegt*, v. προστρίβω, reibe an etwas. 6) *folgt*, v. ἕπομαι. 7) *verursacht*, v. τίκτω, gebäre. 8) gen. pl. v. πονηρός. 9) nom. pl. v. κακός. 10) *werden*, 3. pl. v. γίγνομαι. 11) Wie der Lateiner einen ablativus, so hat der Grieche einen genitivus beim Comparativ. 12) *fällt*, pass. v. φέρω, trage. 13) gen. sg. v. χιών. 14) *entsteht*, v. γίγνομαι. 15) *gewinnt*, v. κρατέω, bin vorzüglicher; gegen wen? gen. 16) v. οὐδείς. 17) *Es folgt*, v. ἀκολουθέω.

σίᾳ μαλακία καὶ μεταμέλεια. **19.** *Χρύσιππος ἔφη τὴν διάνοιαν*[1]) *εἶναι*[1]) *λόγου*[2]) *πηγήν.* **20.** *Ὁμοφροσύνη φιλίαν ποιεῖ*[3]). **21.** *Σωφροσύνη ἐσθλὴν δόξαν ἐν ἀνθρώποις*[4]) *κομίζεται*[5]). **22.** *Φόβος κολακείαν μὲν ἐργάζεται*[6]), *εὔνοιαν δὲ οὐκ ἔχει*[7]). **23.** *Εὐσέβειαν δεῖ ἀσκεῖν*[8]), *καὶ σωφροσύνην φιλεῖν*[9]) *καὶ ἀλήθειαν.* **24.** *Μεγαλοψυχία ἐστὶν ἀρετὴ ψυχῆς, καθ' ἣν δυνάμεθα*[10]) *φέρειν*[11]) *εὐτυχίαν ἢ δυστυχίαν, καὶ τιμὴν καὶ ἀτιμίαν.* **25.** *Δι'*[12]) *ἀπειθείαν καὶ ἀκρασίαν καὶ φυγοπονίαν τῶν νοσούντων*[13]) *ἄπρακτα*[14]) *γίγνεται*[15]) *τὰ βοηθήματα*[16]) *τῆς τέχνης.* **26.** *Ξενοκράτης τῆς ἡμέρας ὥραν μίαν*[17]) *ἀπένεμε*[18]) *σιωπῇ.*

27. *Τὸ Μηδικὸν ἔργον δυοῖν*[19]) *ναυμαχίαιν καὶ πεζομαχίαιν ταχεῖαν*[20]) *τὴν κρίσιν*[21]) *ἔσχεν*[22]). **28.** *Πασῶν*[23]) *τῶν ἀρετῶν ἡγεμών ἐστιν ἡ εὐσέβεια.* **29.** *Πληροῦται*[24]) *ὁ Νεῖλος μάλιστα κατὰ τὴν τῶν ἐτησίων ὥραν.* **30.** *Ἡσυχίαν ἄγε*[25]) *ἐν ταῖς συμφοραῖς.* **31.** *Τῶν Λακεδαιμονίων*[26]) *μᾶλλον ἄγανται*[27]) *τὴν ἧτταν τὴν ἐν Θερμοπύλαις ἢ τὰς ἄλλας νίκας.* **32.** *Ἰδίας νόμιζε*[28]) *τῶν φίλων*[29]) *τὰς συμφοράς.* **33.** *Ἀνδρεία τὰς ἄτας μικρὰς ποιεῖ*[30]).

---

1) acc. c. inf. 2) gen. sg. v. *λόγος*. 3) *bewirkt*, v. *ποιέω*. 4) dat. pl. v. *ἄνθρωπος*. 5) *verschafft*, med. v. *κομίζω*, bringe. 6) *veranlasst* v. *ἐργάζομαι*. 7) *besitzt*, v. *ἔχω*, habe. 8) *üben*, inf. v. *ἀσκέω*. 9) *lieben*, inf. v. *φιλέω*. 10) *wir können*, v. *δύναμαι*. 11) *ertragen*, inf. v. *φέρω*, trage. 12) *διά*. 13) *der Kranken*, gen. pl. part. praes. v. *νοσέω*, bin krank. 14) neutr. pl. v. *ἄπρακτος*. 15) *werden*, v. *γίγνομαι*. Im Griech. der sing. — Wenn das Subjekt ein neutr. im pl. ist, steht im Griech. das Verbum gewöhnlich im sg. — 16) nom. pl. v. *βοήθημα*. 17) v. *εἷς*. 18) *theilte zu*, v. *ἀπονέμω*. 19) dat. v. *δύο*. 20) v. *ταχύς*. 21) acc. sg. v. *κρίσις*. 22) *erhielt*, aor. v. *ἔχω*, habe; wodurch? dat. 23) v. *πᾶς*. 24) *wächst an*, pass. v. *πληρόω*, fülle. 25) *halte*, imperat. v. *ἄγω*, führe. 26) gen. pl. v. *Λακεδαιμόνιος*, von wem? 27) sie bewundern, *man bewundert*, v. *ἄγαμαι*. 28) *halte* (wofür? acc.), imperat. v. *νομίζω*, glaube, puto. 29) gen. pl. v. *φίλος*. 30) *macht*, reddit, v. *ποιέω*.

II.

Masculina und Contrakta der 1. Deklination.

Masculina auf ος.

1. Τύχης *νομοθέτης* οὐδεὶς ἱκανὸς ἄρχειν[1]. 2. Οὐχ οἷόν τε ἄνευ δικαιοσύνης ἀγαθὸν *πολίτην*[2] γενέσθαι[3]. 3. Οἱ *γεωμέτραι* θεωροῦσι[4], πῶς πρὸς ἀλλήλας[5] ἔχουσιν[6] αἱ γραμμαί. 4. Πονηροῦ *δεσπότου οἰκέται* οὐ χρηστοὶ γίγνονται[7]. 5. Οἱ *ὁπλῖται* καὶ οἱ *τοξόται* καὶ οἱ *πελτασταὶ* πεζοὶ ἦσαν. 6. *Κυβερνῆται* ἀγαθοὶ γίγνονται δι' ἐμπειρίαν τε τῶν πλόων καὶ διὰ μελέτην. 7. Οἱ μὲν *οἰκέται* τοῖς *δεσπόταις*, οἱ δὲ φαῦλοι ταῖς ἐπιθυμίαις δουλεύουσιν[8]. 8. Λυκοῦργος κατὰ τοὺς *Ἡρακλείδας* λέγεται[9] γενέσθαι[10]. 9. Ἡ νέα Καρχηδὼν κτίσμα ἦν *Ἀσδρούβα*. 10. Οὐκ εἰκὸς *Πυθαγόραν*[11] *Νουμᾷ* συγγενέσθαι[11]. 11. Οἱ *ὀρνιθοθῆραι* θηρεύουσι[12] τῇ γλαυκὶ[13] παντοδαπὰ[14] ὀρνίθια[15].

12. Πρωταγόρας πρῶτος μισθὸν εἰςεπράξατο[16] *μνᾶς* ἑκατόν. 13. Αἱ ἐλαῖαι τῆς *Ἀθηνᾶς* ἱεραὶ ἦσαν. 14. Οἱ Ἀθηναῖοι *Ἀθηνᾶν* ἐπωνόμασαν[17] Ἐργάνην. 15. Ψυχῆς[18] καθαρᾶς τόπον οἰκειότερον[19] ἐπὶ γῆς θεὸς οὐκ ἔχει[20]. 16. Ἐκλείπει[21] ἡ σελήνη εἰς σκιὰν τῆς *γῆς* ἐμπίπτουσα[22].

---

1) *zu beherrschen*, v. ἄρχω, was? gen. 2) acc. d. Prädikats beim inf. wie im Lat. 3) *zu werden*, inf. aor. 2. v. γίγνομαι. 4) *betrachten*, 3. pl. v. θεωρέω. 5) v. ἀλλήλων. 6) *sich verhalten* 3. pl. v. ἔχω, habe. 7) s. I, 9, 10. 8) *dienen*, 3. pl. v. δουλεύω. 9) wird gesagt, v. λέγω, wie dicitur. *soll.* 10) *gewesen sein, gelebt haben*, s. Anm. 3. 11) acc. c. inf., *dass — gekommen ist*, inf. praes. v. συγγίγνομαι, zu wem? dat. 12) *fangen*, 3. pl. v. θηρεύω, jage, womit? dat. 13) dat. sg. v. γλαύξ. 14) nom. pl. neutr. v. παντοδαπός. 15) nom. pl. v. ὀρνίθιον. 16) *erhob*, aor. 1. med. v. εἰςπράσσω, treibe ein. 17) *gaben den Beinamen*, aor. v. ἐπονομάζω, wem? acc. 18) s. I, 10, 11. 19) comparat. οἰκεῖος. 20) *hat*, v. ἔχω. 21) *es verfinstert sich*, v. ἐκλείπω, lasse aus. 22) *wenn er — geräth*, part. praes. v. ἐμπίπτω, falle hinein.

17. Λύρα εὕρημα ἦν Ἑρμοῦ. 18. Λέγουσιν[1]) Ἑρμῆν παλαίστρας εὑρετὴν εἶναι. 19. Οἱ Ἑρμαῖ ἄκωλοι ἦσαν. 20. Τὰ[2]) μὲν πρὸς ἑσπέραν τῆς Σικελίας Σικανοὶ, τὰ δὲ μέσα καὶ τὰ[2]) πρὸς βορρᾶν Σικελοὶ εἶχον[3]).

III.

2. Deklination.

1. Λόγος ἀληθὴς ψυχῆς ἀγαθῆς εἴδωλόν ἐστιν. 2. Οὔθ'[4]) ὁ αὐστηρὸς οἶνος εἰς πόσιν[5]) εὔθετος, οὔθ' ὁ ἄγροικος τρόπος εἰς ὁμιλίαν. 3. Ὅπλον τομώτερον[6]) σιδήρου[7]) ἐστὶ λόγος. 4. Τὸ τῆς δόξης κάλλος, ὥςπερ ὑπὸ νόσου, ὑπὸ τοῦ φθόνου ταχὺ[8]) μαραίνεται[9]). 5. Ὁ ὕπνος θανάτου ἀδελφός. 6. Σιγή ποτ' ἐστὶν αἱρετωτέρα[10]) λόγου[7]). 7. Οὔτε ἵππῳ χωρὶς χαλινοῦ, οὔτε πλούτῳ χωρὶς λογισμοῦ δυνατὸν ἀσφαλῶς χρήσασθαι[11]). 8. Διογένης πίθον ἔσχεν[12]) οἰκίαν[13]). 9. Ῥώμην[14]) μεγίστην καὶ πλοῦτον[14]) τὴν ἐγκράτειαν κτῆσαι[15]). 10. Ἡ εἰρήνη τὸν γεωργὸν καὶ ἐν πέτραις καλῶς τρέφει[16]), ὁ δὲ πόλεμος καὶ ἐν πεδίῳ κακῶς. 11. Ὥσπερ ὑπὸ τοῦ ἰοῦ ὁ σίδηρος, οὕτως οἱ φθονεροὶ ὑπὸ τοῦ ἰδίου ἤθους[17]) κατεσθίονται[18]). 12. Κακὸν φέρουσι[19]) καρπὸν οἱ κακοὶ φίλοι. 13. Οἱ ἀγαθοὶ οἰκέται ἐλεύθεροι, οἱ δὲ πονηροὶ ἐλεύθεροι δοῦλοι πολλῶν[20]) ἐπιθυμιῶν. 14. Εὐσχήμων ἐστὶ πλοῦτος ἐκ τῶν ἰδίων πόνων. 15. Ἡ

---

1) *man sagt*, 3. pl. v. λέγω, wie dicunt mit acc. c. inf. 2) das — befindliche, *die Theile*. Für das neutr. sg. im Deutschen gebraucht der Grieche, wie der Lateiner, das neutr. pl., wenn mehreres darunter begriffen ist. 3) *hatten inne*, v. ἔχω, habe. 4) οὔτε. 5) acc. sg. v. πόσις. 6) comparat. v. τομός. 7) s. I, 10, 11. 8) v. ταχύς. 9) *wird welk gemacht*, v. μαραίνω. 10) comparat. v. αἱρετός. 11) *zu gebrauchen*, aor. v. χράομαι. 12) *hatte*, aor. 2. v. ἔχω. 13) wozu? 14) als was? 15) *erwirb*, aor. v. κτάομαι. 16) *ernährt*, von τρέφω. 17) gen. sg. v. ἦθος. 18) *werden verzehrt*, v. κατεσθίω. 19) *bringen*, 3. pl. v. φέρω. 20) gen. pl. v. πολύς.

γλῶσσα πολλῶν ἐστιν αἰτία κακῶν. **16.** *Οἱ ἀπαίδευτοι μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρουσιν*[1]). **17.** *Πλοῦτος βασανός ἐστι τῶν ἀνθρώπου τρόπων.* **18.** *Φθόνος μεγίστη τῶν ἐν ἀνθρώποις νόσων.* **19.** *Ἔργοις*[2]) *φιλόπονος ἴσθι*[3]), *μὴ λόγοις*[2]) *μόνον.* **20.** *Σωκράτης ἐκέλευε*[4]) *σὺν τοῖς θεοῖς ἄρχεσθαι*[5]) *παντὸς ἔργου.* **21.** *Ἄτλαντα*[7]) *ἔφασαν*[6]) *ἔχειν*[7]) *τοῖς ὤμοις τὸν οὐρανόν.* **22.** *Ὑπὲρ δόξης ἕκαστος κινδύνους ὑπομένει*[8]). **23.** *Κρίνει*[9]) *φίλους ὁ καιρός, ὡς χρυσὸν τὸ πῦρ.* **24.** *Οἱ Ἕλληνες τὸ πάλαι*[10]) *καὶ τῶν βαρβάρων*[11]) *οἵ*[11]) *τε ἐν τῇ ἠπείρῳ παραθαλάσσιοι*[11]), *καὶ ὅσοι νήσους εἶχον*[12]), *ἐτράποντο*[13]) *πρὸς λῃστείαν.* **25.** *Μινώταυρος εἶχε*[14]) *ταύρου πρόσωπον, τὰ δὲ λοιπὰ*[15]) *ἀνδρός*[16]).

IV.

Contrakta der 2. Deklination und attische Deklination.

1. *Ὑγίεια καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο.* **2.** *Τὴν γλῶσσαν*[17]) *οὐ δεῖ προτρέχειν*[17]) *τοῦ νοῦ.* **3.** *Μακάριος, ὅστις οὐσίαν καὶ νοῦν ἔχει*[18]). **4.** *Κερκύρα τῆς τε Ἰταλίας*[19]) *καὶ Σικελίας*[19]) *καλῶς παράπλου*[20]) *κεῖται*[21]). **5.** *Καθ᾽ ὃν χρόνον Ἡρακλῆς ἐλάτρευε*[22]) *παρ᾽ Ὀμφάλῃ, λέγεται*[23]) *τὸν ἐπὶ Κόλχους πλοῦν γενέσθαι*[24]). **6.** *Τὸ Ἀτλαντικὸν πέλαγος ἐν*

---

1) *unterscheiden sich*, v. *διαφέρω*, wodurch? dat., von wem? gen. 2) worin? 3) *sei*, v. *εἰμί*. 4) *hiess*, jubebat, v. *κελεύω*. 5) *beginnen*, inf. v. *ἄρχομαι*, was? gen. 6) *man sagte*, 3. pl. v. *φημί*. 7) acc. c. inf. *dass — halte*, inf. v. *ἔχω*, habe, womit? dat. 8) *besteht*, v. *ὑπομένω*. 9) *es scheidet aus*, lichtet, v. *κρίνω*. 10) Man beginne die Uebersetzung mit *τὸ πάλαι ἐτράποντο*. 11) *von den — sowohl diejenigen, welche — wohnten.* 12) *inne hatten*, v. *ἔχω*. 13) *hielten sich*, aor. 2. med. v. *τρέπω*, wende. 14) *hatte*, v. *ἔχω*. 15) s. II, 20, 2. 16) gen. sg. v. *ἀνήρ*, von wem? 17) acc. c. inf. *dass — vorlaufe*, v. *προτρέχω*, wem? gen. 18) hat, v. *ἔχω*. 19) in welcher Richtung? 20) wofür? 21) *liegt*, v. *κεῖμαι*. 22) *diente*, v. *λατρεύω*. 23) es wird gesagt, daß, mit acc. c. inf., *soll*, v. *λέγω*. 24) *stattgefunden haben*, s. II, 2, 3.

στενοπόρῳ στόματι, ταῖς Ἡρακλείας λεγομέναις στήλαις, τὸν εἴςρουν εἰς τὴν ἔσω θάλασσαν ποιεῖται[1]). **7.** *Τὰ Λεωνίδου ὀστᾶ Παυσανίας ἐκ Θερμοπυλῶν ἀνείλετο*[2]). **8.** *Ἐκ Σκύρου Κίμων τὰ Θησέως ὀστᾶ εἰς Ἀθήνας ἐκόμισεν*[3]). **9.** *Νουμᾶς νεὼν Ἑστίας ἱδρύσατο*[4]). **10.** *Παρὰ τοῖς Ἀθηναίοις οἱ τάφοι πρὸς ἕω ἔβλεπον*[5]). **11.** *Αἱροῦνται*[6]) *οἱ λαγῳ ὑπὸ τῶν κυνῶν*[7]) *δρόμῳ*[8]). **12.** *Ἐν τῇ Σάμῳ τῇ Ἥρᾳ ταὼς ἔτρεφον*[9]). **13.** *Τῶν θεῶν*[10]) *τοὺς τῶν ἀγαθῶν αἰτίους ὄντας*[11]) *οἱ Ἕλληνες Ὀλυμπίους προςηγόρευον*[12]) *καὶ νεὼς καὶ βωμοὺς αὐτῶν ἱδρύοντο*[13]). **14.** *Παρὰ τῷ τῶν Παλληναίων δήμῳ μετὰ τὴν Λεὼ προδοσίαν οὐκέτι ἐκηρύττετο*[14]) *τοὐπιχώριον*[15])· *Ἀκούετε*[16]) *λεῴ!*

V.

Substantiva der 3. Deklination ohne Contraktion.

Synkopirte Substantiva.

1. *Μικροῦ ἀγῶνος οὐ μέγα*[17]) *ἔρχεται*[18]) *κλέος.* **2.** *Οὐκ ἐσθῆτος πολυτελείᾳ, ἀλλὰ σώματος εὐεξίᾳ κοσμούμεθα*[19]). **3.** *Ὁ δειλὸς τῆς πατρίδος προδότης ἐστίν.* **4.** *Χάρις χάριτος αἰτία.* **5.** *Χίμαιρα εἶχε*[20]) *προτομὴν μὲν λέοντος, οὐρὰν δὲ δράκοντος, τρίτην*[21]) *δὲ κεφαλὴν μέσην αἰγός, δι' ἧς πῦρ ἀνίει*[22]). **6.** *Αἱ τῶν Καρδούχων οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέατος, κάτω δὲ*

---

1) 3. s. praes. ind. med. v. *ποιέω*, *macht.* 2) *nahm weg*, aor. 2. med. v. *ἀναιρέω.* 3) *brachte*, aor. v. *κομίζω.* 4) *erbaute*, aor. med. v. *ἱδρύω.* 5) *sahen*, v. *βλέπω.* 6) *werden gefangen*, v. *αἱρέω*, nehme. 7) gen. pl. v. *κύων.* 8) den dat. durch *in.* 9) *hielt man*, 3. pl. v. *τρέφω*, ernähre. 10) den gen. durch *von.* 11) *τοὺς — ὄντας*, acc. pl. part. praes. v. *εἰμί*, *diejenigen, welche — sind.* 12) *nannten*, v. *προςαγορεύω.* 13) *erbauten*, med. v. *ἱδρύω.* 14) *wurde ausgerufen*, v. *κηρύσσω.* 15) *τὸ ἐπιχώριον.* 16) *höret!* v. *ἀκούω.* 17) v. *μέγας.* 18) *kommt*, v. *ἔρχομαι*, wovon? gen. 19) *wir werden geschmückt*, v. *κοσμέω*, wodurch? dat. 20) *hatte*, v. *ἔχω.* 21) im Deutschen das Neutrum: *als drittes.* 22) *ausstiess*, v. *ἀνίημι*, lasse los.

εὐρεῖαι[1]). 7. Ξενοφῶν ἐκαλεῖτο[2]) Ἀττικὴ Μοῦσα γλυκύτητι[3]) τῆς ἑρμηνείας. 8. Τὸ κώνειον ὄρτυγι μὲν τρόφιμον, ἀνθρώπῳ δὲ θανάσιμόν ἐστιν. 9. Νόμῳ καὶ ἄρχοντι καὶ σοφωτέρῳ[4]) εἴκειν[5]) κόσμιον[6]). 10. Οἱ Ἀρεοπαγῖται ἐν νυκτὶ καὶ σκότῳ ἐδίκαζον[7]). 11. Τέττιξ μὲν τέττιγι φίλος, μύρμηκι δὲ μύρμηξ, κόρακι δὲ κόραξ. 12. Γενναῖα πλοῖα πρὸς χειμῶνα ἀντέχει[8]). 13. Ἰσότης φιλότητα ἀπεργάζεται[9]). 14. Ὁ ἐλέφας τὸν δράκοντα ὀρρωδεῖ[10]). 15. Πολλὰ[11]) ἀνθρώποις παρ᾽ ἐλπίδα γίγνεται[12]). 16. Ἥφαιστος τὼ πόδε[13]) χωλὸς ἦν. 17. Οἱ τῆς ἀρετῆς κλῶνες ἱδρῶτι καὶ πόνοις φύονται[14]). 18. Αἱ ἐπιφάνειαι[15]) καὶ λαμπρότητες[15]) οὐκ ἐκ τῆς ἡσυχίας, ἀλλ᾽ ἐκ τῶν ἀγώνων γίγνονται[16]). 19. Ἡ τῶν κολάκων εὔνοια καθάπερ ἐκ τροπῆς φεύγει[17]) τὰς ἀτυχίας. 20. Γῆρας λεόντων κρεῖσσον[6]) ἀκμαίων νεβρῶν[18]). 21. Ἀχαλίνων στομάτων[15]), ἀνόμου τ᾽ ἀφροσύνης τὸ τέλος δυστυχία. 22. Εὐδαιμονία οὐκ ἐν βοσκήμασιν οἰκεῖ[19]) οὐδ᾽ ἐν χρυσῷ, ψυχὴ οἰκητήριον δαίμονος. 23. Ἐν ἐλπίσι χρὴ τοὺς σόφους ἔχειν[20]) βίον. 24. Ἡ φύσις τοῖς μὲν λέουσιν ἔδωκεν[21]) ἀλκὴν καὶ ταχυτῆτα, ταῖς δὲ ἀλώπεξι πανουργίαν. 25. Αἱ ἀκτῖνες καὶ τὰ ῥεύματα τοῦ πυρὸς τοῖς σώμασι φῶς καὶ θερμότητα προςβάλλουσιν[22]). 26. Οἱ Φοίνικες τῷ Ἡρακλεῖ[23]) ὄρτυγας ἔθυον[24]). 27. Αἱ μὲν βρονταὶ μάλιστα τοὺς παῖδας, αἱ

---

1) v. εὐρύς. 2) *wurde genannt*, v. καλέω. 3) den dat. durch *wegen*. 4) comparat. v. σοφός. 5) *nachzugeben*, v. εἴκω. 6) sc. ἐστίν. 7) *hielten Gericht*, v. δικάζω, spreche Recht. 8) *halten Stand*, 3. sg. v. ἀντέχω, s. I, 25, 15. 9) *führt herbei*, v. ἀπεργάζομαι. 10) *hat Scheu*, v. ὀρρωδέω, vor wem? acc. 11) v. πολύς. s. II, 20, 2. 12) *geschieht*, v. γίγνομαι, s. Anm. 8. 13) woran? 14) *sprossen*, 3. pl. praes. pass. v. φύω, erzeuge; wodurch? dat. 15) im Deutsch. d. sing. 16) *entsteht, kommt*, 3. pl. v. γίγνομαι. 17) *flieht*, v. φεύγω, wovor? acc. 18) s. I, 10, 11. 19) *wohnt*, v. οἰκέω. 20) *haben*, *führen*, inf. v. ἔχω. 21) *gab*, aor. v. δίδωμι. 22) *bringen zu*, v. προςβάλλω, werfe hin. 23) dat. v. Ἡρακλῆς. 24) *opferten*, v. θύω.

δ' ἀπειλαὶ τοὺς ἄφρονας καταπλήσσουσιν[1]. **28.** Τὰ ἐν ἀέρι πνέοντα[2] πνεύματα καλοῦμεν[3] ἀνέμους.

29. Πατρὸς ἀνάγκη παισὶ πείθεσθαι[4] λόγῳ. **30.** Βίας Πριηνεὺς κόρας αἰχμαλώτους λυτρωσάμενος[5] Μεσσηνίας, εἰς τὴν Μεσσήνην ἀπέστειλε[6] τοῖς πατράσιν αὐτῶν. **31.** Οὐδὲν[7] ἐν ἀνθρώποις πατρὸς[8] καὶ μητρός[8] ἐστιν ἄμεινον. **32.** Καλῶς λέγουσιν[9] οἱ φάσκοντες[10], τὴν γεωργίαν[11] τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι[11]. **33.** Κρατεῖν[12] ἐθίζου[13] γαστρὸς καὶ ὕπνου. **34.** Διογένης τὴν γαστέρα Χάρυβδιν ἔλεγε[14] τοῦ βίου. **35.** Χαλεπόν ἐστι λέγειν[15] πρὸς γαστέρα, ὦτα οὐκ ἔχουσαν[16]. **36.** Ἔπαφος βασιλεύων[17] Αἰγυπτίων ἔγημε[18] Μέμφιν τὴν Νείλου θυγατέρα καὶ ἀπὸ ταύτης[19] ἔκτιζε[20] Μέμφιν πόλιν. **37.** Αἱ Πλειάδες θυγατέρες ἦσαν ἑπτὰ Ἄτλαντος καὶ Πληιόνης τῆς[21] Ὠκεανοῦ. **38.** Ἰὼ εἰς Αἴγυπτον ἐλθοῦσα[22] ἱδρύσατο[23] ἄγαλμα Δήμητρος, ἣν ἐκάλεσαν[24] Ἶσιν Αἰγύπτιοι. **39.** Ἐπὶ Πανδίονος Δημήτηρ καὶ Διόνυσος εἰς τὴν Ἀττικὴν ἦλθον[25]· ἀλλὰ Δήμητρα μὲν Κελεὸς εἰς τὴν Ἐλευσῖνα ὑπεδέξατο[26], Διόνυσον δὲ Ἰκάριος. **40.** Οἱ πλανῆται τοῖς ἀπλανέσιν ἀστράσιν ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς ἀντιφέρονται[27].

---

1) *erschrecken*, 3. pl. v. καταπλήσσω. 2) *wehend*, v. πνέων, part. praes. v. πνέω. 3) *nennen wir*, v. καλέω. 4) *zu folgen*, inf. med. v. πείθω, überrede. 5) part. aor. med. v. λυτρόω, gebe frei; zu übersetzen: *kaufte los und.* 6) *schickte*, aor. v. ἀποστέλλω. 7) v. οὐδείς. 8) s. I, 10, 11. 9) *sprechen*, 3. pl. v. λέγω. 10) v. φάσκων, part. praes. v. φάσκω, *diejenigen, welche sagen.* 11) acc. c. inf. *dass — sei*, inf. v. εἰμί. 12) *zu beherrschen*, v. κρατέω, wen? gen. 13) *gewöhne dich*, med. v. ἐθίζω, ich gewöhne. 14) *nannte*, v. λέγω, sage. 15) *zu reden*, v. λέγω. 16) v. ἔχων, part. praes. v. ἔχω, *da er — hat.* 17) part. praes. v. βασιλεύω, *welcher König war.* 18) *heirathete*, aor. v. γαμέω. 19) v. οὗτος. 20) *gründete*, aor. v. κτίζω. 21) sc. θυγατρός. 22) v. ἐλθών, part. aor. 2. v. ἔρχομαι, *kam und.* 23) *errichtete*, aor. med. v. ἱδρύω. 24) *nannten*, aor. v. καλέω. 25) *kamen*, aor. 2. v. ἔρχομαι. 26) *nahm auf*, aor. v. ὑποδέχομαι. 27) *bewegen sich entgegen*, pass. v. ἀντιφέρω, trage entgegen.

VI.

Contrakta der 3. Deklination.

1. Ξενοκράτης σκυθρωπὸς ἀεὶ ἦν, ὥστε αὐτῷ λέγειν[1]) συνεχὲς τὸν Πλάτωνα[1]), Ξενόκρατες, θῦε[2]) ταῖς Χάρισιν. 2. Θαλῆς ὁ Μιλήσιος ἐρωτηθείς, πόσον ἀπέχει[3]) τὸ ψεῦδος τοῦ ἀληθοῦς, Ὅσον, ἔφη, ὀφθαλμοὶ ὤτων. 3. Τὴν κακίστην[4]) δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν[5]). 4. Ἤθους βάσανός ἐστιν ἀνθρώποις χρόνος. 5. Περιέρχεται[6]) ἡ σελήνη ἐν μηνὶ τὸν ἴδιον κύκλον· ἐλάττων δὲ τῆς γῆς[7]) ἐστι τῷ μεγέθει[8]). 6. Ἀγησίλαος ἐν δυοῖν ἐτοῖν πλέον τῶν ἑκατὸν ταλάντων[7]) τῷ θεῷ ἐν Δελφοῖς δεκάτην[9]) ἀπέθυσεν[10]). 7. Κέρδη πονηρὰ ζημίαν ἀεὶ φέρει[11]). 8. Ἀποσκίασμά τι ἔστι τῶν ὑψηλῶν ἐν τῇ σελήνῃ μερῶν, ἄγκη γὰρ ἔχει[12]) καὶ νάπας. 9. Ἡ σελήνη οὐ μόνον τῆς νυκτὸς ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν[13]) ποιεῖ[14])· 10. Κλείδημος ἀπήγγειλε[15]), τὸν ἄρχοντα[16]) τῆς Ἀργοῦς Ἰάσονα περιπλεῖν[16]) ἐξείργοντα[17]) τῆς θαλάσσης τὰ λῃστήρια. 11. Αἰδοῖ μὲν πρόςεστι[18]) σέβας, φόβῳ δὲ μῖσος. 12. Παισὶν αἰδῶ χρὴ πολλήν[19]), οὐ χρυσὸν καταλείπειν[20]). 13. Τοὺς νέους ἔχειν[21]) δεῖ ἐπὶ μὲν τῶν γνωμῶν τὴν σωφροσύνην, ἐπὶ δὲ τῆς γλώσσης σιγήν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν αἰδῶ. 14. Κλωθὼ καὶ Λάχεσιν καὶ Ἄτροπον ἐκάλουν[22]) Μοίρας. 15. Ζεὺς Καλ-

---

1) acc. c. inf. *so dass — sagte*, inf. praes. v. λέγω, zu wem? dat. 2) *opfere*, imperat. v. θύω. 3) *entfernt sei*, ind. praes. v. ἀπέχω, wovon? gen. s. VIII, 24, 20. 4) superl. v. κακός. 5) *ertragen*, *erdulden*, 3. pl. v. δουλεύω, bin Sklave. 6) *Es durchläuft*, v. περιέρχομαι, komme herum. 7) s. I, 10, 11. 8) woran? 9) als was? 10) *brachte* (als Opfer) *dar*, v. ἀποθύω. 11) *bringt*, v. φέρω, s. I, 25, 15. 12) *hat*, v. ἔχω. 13) dat. pl. zu ἐγώ. 14) *macht*, v. ποιέω. 15) *berichtete*, aor. v. ἀπαγγέλλω. 16) acc. c. inf., *dass — umherfuhr*, v. περιπλέω. 17) part. praes., v. ἐξείργω, *und fern hielt*, wovon? gen. 18) *wohnt bei*, v. πρόςειμι. 19) v. πολύς. 20) *hinterlassen*, inf. v. καταλείπω. 21) *haben*, v. ἔχω. 22) *nannte man*, 3. pl. v. καλέω.

λιστὼ καταστερίσας[1]) ἐκάλεσεν[2]) ἄρκτον. **16.** Πλοῦτος ὕβριν τίκτει[3]) ἢ φειδὼ βίου. **17.** Ζεὺς εἶχεν[4]) ἐκ Μνημοσύνης θυγατέρας Μούσας, πρώτην μὲν Καλλιόπην, εἶτα δὲ Κλειώ, Μελπομένην, Εὐτέρπην, Ἐρατώ, Τερψιχόρην, Οὐρανίαν, Θάλειαν, Πολυμνίαν.

18. Βίας, δεινότατος[5]) ὢν[6]) δίκας εἰπεῖν[7]), ἐπ᾽ ἀγαθῷ τῇ τῶν λόγων ἰσχύϊ προςεχρῆτο[8]). **19.** Ἰσχὺν τῇ ψυχῇ[9]) αἱροῦ[10]) μᾶλλον ἢ τῷ σώματι. **20.** Οὔτ᾽ ἐν ἰχθύσι φωνήν, οὔτ᾽ ἐν ἀπαιδεύτοις ἀρετὴν δεῖ ζητεῖν[11]). **21.** Δημήτριος Φαληρεὺς ἔλεγε[12]) μικρὸν μὲν εἶναι[13]) μέρος τὰς ὀφρῦς[13]), ὅλῳ δὲ ἐπισκοτῆσαι[14]) τῷ βίῳ δύνασθαι[15]). **22.** Ἀριστοτέλης τριῶν ἔφη δεῖν[16]) παιδείᾳ, φύσεως, μαθήσεως, ἀσκήσεως. **23.** Χρόνος οὐ διδάσκει[17]) φρόνησιν, ἀλλὰ φύσις καὶ ὀρθὴ δίαιτα. **24.** Οὔτε λόγος ἐσθλὸς φαύλην πρᾶξιν ἀμαυρίσκει[18]), οὔτε πρᾶξις ἀγαθὴ λόγου βλασφημίᾳ λυμαίνεται[19]). **25.** Τὸ[20]) μὲν ἐκ προγόνων γενέσθαι[20]) ἀγαθῶν ἢ κάλλους τυχεῖν[21]) σωματικοῦ διὰ φύσεως πορίζεται[22]) ἢ τύχης· αἱ δὲ τῶν τεχνῶν ἀναλήψεις καὶ αἱ τῶν ἐπιτηδευμάτων ἐπιστημῶν τε διώξεις ἐφ᾽ ἡμῖν εἰσιν. **26.** Ταῖς μὲν πόλεσι τὰ τείχη, ταῖς δὲ ψυχαῖς ὁ[23]) ἐκ παι-

---

1) part. aor. v. καταστερίζω (v. ἀστήρ), *versetzte unter die Sterne, und.* 2) *nannte*, aor. v. καλέω. 3) *erzeugt*, v. τίκτω. 4) *hatte*, v. ἔχω. 5) superl. v. δεινός. 6) part. praes. v. εἰμί, *welcher — war.* 7) inf. des aor. εἶπον, ich sagte. 8) *wendete an*, v. προςχράομαι, was? dat. 9) für wen? 10) *wähle*, imperat. v. αἱρέομαι. 11) *suchen*, inf. v. ζητέω. 12) *sagte*, v. λέγω. 13) acc. c. inf. *dass — seien*, inf. v. εἰμί. 14) *Schatten werfen*, inf. aor. v. ἐπισκοτέω, worauf? dat. 15) *könnten*, inf. praes. v. δύναμαι. 16) *dass nöthig sei*, inf. v. δεῖ, was? gen., wozu? dat. 17) *lehrt*, v. διδάσκω. 18) *verwischt*, v. ἀμαυρίσκω, mache dunkel. 19) *wird beschimpft*, v. λυμαίνομαι, wodurch? dat. 20) das geworden sein, *die Abstammung*, inf. aor. 2. v. γίγνομαι. 21) das erreicht haben, was? gen.; *der Besitz.* 22) *wird verschafft*, v. πορίζω. 23) ὁ gehört zu νοῦς. Der Grieche setzt die näheren Bestimmungen zu einem Substantivum mit dem Artikel zwischen den Artikel und das Substantivum.

δείας νοῦς κόσμον καὶ ἀσφάλειαν παρέχει[1]). **27.** Οἱ παρ' Αἰγυπτίοις σοφοὶ τοὺς βίους[2]) ἐσημειοῦντο[3]) ἐκ τῆς ἐν ταῖς γενέσεσι[2]) τῶν ἀστέρων[4]) πρὸς τὰ ἐν τῷ ζωδιακῷ ἄστρα διαθέσεως. **28.** Ἦθός ἐστι πηγὴ βίου, ἀφ' ἧς αἱ κατὰ μέρος[5]) πράξεις ῥέουσιν[6]). **29.** Οὐ τὰς ὄψεις τῶν πόλεων μᾶλλον σκοπεῖν[7]) εἰκὸς ἢ τὰς δυνάμεις. **30.** Ξενοφάνης ἔλεγε[8]) τῶν ἀστέρων τὰς ἀνατολὰς[9]) καὶ τὰς δύσεις[9]) ἐξάφεις εἶναι[9]) καὶ σβέσεις.

31. Πέντ' εἰσὶν ἃς ἄνθρωπος αἰσθήσεις[10]) ἔχει[11])
Ἀκοήν, ἁφήν, ὅρασιν, γεῦσιν, ὄσφρησιν.

32. Διεσπάσαντο[12]) τὸν Πενθέα αἱ Μαινάδες, καὶ αἱ Θρᾷτται τὸν Ὀρφέα. **33.** Οἱ Φωκαεῖς φεύγοντες[13]) τὴν βασιλέως δεσποτείαν εἰς Μασσαλίαν ἀπῴκησαν[14]). **34.** Ἃ ἂν ἔχωσιν[15]) οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον, διδάσκουσι[16]) τοὺς παῖδας. **35.** Βεβαιόταται[17]) φιλίαι εἰσὶ[18]) γονεῦσι πρὸς παῖδας καὶ παισὶ πρὸς γονέας. **36.** Τινὲς τῶν συγγραφέων ἀπεφήναντο[19]) τοὺς Ἴσιδος καὶ Ὀσίριδος τάφους[20]) ὑπάρχειν[20]) ἐν Νύσῃ τῆς Ἀραβίας[21]). **37.** Ἐν Σπάρτῃ οἱ ἔφοροι προὐκήρυττον[22]) τὰ ἔτη, εἰς ἃ ἔδει[23]) στρατεύεσθαι[24]), καὶ ἱππεῦσι καὶ ὁπλίταις καὶ τοῖς χειροτέχναις. **38.** Ἀντισθένης, οἰκῶν[25]) ἐν Πειραιεῖ, καθ' ἑκάστην ἡμέ-

---

1) *gewährt*, v. παρέχω. 2) im Deutschen d. sing. 3) *zeichneten auf*, v. σημειόομαι. 4) abhängig v. διαθέσεως. 5) statt des Ausdrucks mit der Präposition steht im Deutschen das Adjektiv. 6) *fliessen*, 3. pl. v. ῥέω. 7) *im Auge zu haben*, v. σκοπέω. 8) *sagte*, v. λέγω. 9) acc. c. inf. 10) in der Uebersetzung als nom. vor ἅς. 11) *hat*, v. ἔχω. 12) *Es zerrissen*, aor. med. v. διασπάω. 13) part. praes. v. φεύγω, *flohen und*, wovor? acc. 14) *siedelten über*, aor. v. ἀποικέω. 15) *haben*, 3. pl. conj. v. ἔχω. 16) (das) *lehren sie*, v. διδάσκω, wem? acc. 17) superl. v. βέβαιος. 18) wie esse mit dem dat., im Deutschen mit *haben*; die griech. Dative werden zum Subjekt. 19) *gaben an*, aor. med. v. ἀποφαίνω. 20) acc. c. inf. *dass — vorhanden seien*. 21) im Deutschen mit *in*. 22) *machten bekannt*, v. προκηρύττω. 23) *es war nöthig*, v. δεῖ. 24) *ins Feld zu ziehen*, v. στρατεύομαι. 25) part. praes. v. οἰκέω, *welcher — wohnte*.

ραν τοὺς τεσσαράκοντα σταδίους ἀνιὼν[1]) ἤκουε[2]) Σωκράτους. **39.** Τὰ Περικλέους ἔργα πρὸς πολὺν χρόνον ἐν ὀλίγῳ ἐγένετο[3]). **40.** Θεμιστοκλέους τάφον λαμπρὸν Μάγνητες ἐν τῇ ἀγορᾷ εἶχον[4]). **41.** Ἐπὶ τῇ τῆς Οἴτης ἀκρωρείᾳ ἐθύετο[5]) Ἡρακλεῖ εἰς μνήμην τοῦ παλαιοῦ παθήματος. **42.** Ἡρακλῆς ἀδελφὸν εἶχεν[6]) Ἰφικλέα, ὃς ἐτελεύτησεν[7]) ἐν τῇ πρὸς Λακεδαιμονίους μάχῃ.

43. Ἡ τιμή ἐστι γέρως ἀξίωσις, τὸ δὲ γέρας ἆθλον ἀρετῆς εὐεργετικόν. **44.** Οὔτε πάνυ γήρᾳ θαρσεῖν[8]), οὔτε νεότητα χρὴ παντάπασιν ἀποδοκιμάζειν[9]). **45.** Φόλος Κένταυρος, ᾧ Ἡρακλῆς ποτε ἐπεξενώθη[10]), Ἡρακλεῖ μὲν ὀπτὰ παρεῖχε[11]) τὰ κρέα, αὐτὸς δὲ ὠμοῖς ἐχρῆτο[12]). **46.** Μίλων ὁ Κροτωνιάτης ἤσθιε[13]) μνᾶς κρεῶν εἴκοσι. **47.** Σέλας ἐστὶ πυρὸς ἀθρόου ἔξαψις ἐν ἀέρι· πολλάκις δὲ τῶν σελάων τὰ μὲν ἐπιμένει[14]) πλείονα χρόνον, τὰ δὲ παραχρῆμα σβέννυνται[15]). **48.** Πρότερον ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι.

VII.

Anomale Substantiva.

1. Φασὶ[16]) Πυθαγόραν[17]) πρῶτον εἰς τοὺς Ἕλληνας μέτρα καὶ σταθμὰ εἰςηγήσασθαι[17]). **2.** Ἄλλος βίος ἐστὶν ὁ λέοντος καὶ ἄλλος ὁ ἀηδοῦς. **3.** Ἐλευθέρου ἀνδρός ἐστιν[18])

---

1) part. praes. v. ἄνειμι, gehe hinauf; *ging in die Stadt* (Athen), *und.* 2) *hörte*, v. ἀκούω, wen? gen. 3) *entstanden*, 3. sg. aor. 2. v. γίγνομαι, s. I, 25, 15. 4) *hatten*, v. ἔχω. 5) *wurde geopfert*, v. θύω. 6) *hatte*, v. ἔχω. 7) *starb*, aor. v. τελευτάω. 8) *vertrauen*, inf. v. θαρσέω, worauf? dat. 9) *verwerfen*, inf. v. ἀποδοκιμάζω. 10) *wurde Gast*, aor. pass. v. ἐπιξενόομαι, wessen? dat. 11) *setzte vor*, v. παρέχω. 12) *nahm sich*, v. χράομαι, gebrauche, was? dat. 13) *pflegte zu essen*, v. ἐσθίω, esse. 14) *bleibt*, v. ἐπιμένω. 15) *verlischt*, pass. v. σβέννυμι, lösche aus. 16) *man sagt*, 3. pl. v. φημί. 17) acc. c. inf. *dass — gebracht habe*, inf. aor. med. v. εἰςηγέομαι. 18) *es ist die Pflicht, Sache.*

ἀεὶ τἀληθῆ [1]) *λέγειν* [2]). **4.** *Ὁρῶμεν* [3]) *τοὺς ἄνδρας τοὺς καλοὺς κἀγαθοὺς ἐπὶ τῷ δικαίῳ φιλοτιμουμένους* [4]). **5.** *Κύκνος ὁ* [5]) *Ἄρεος εἰς μονομαχίαν προὐκαλεῖτο* [6]) *Ἡρακλέα· βληθεὶς* [7]) *δὲ κεραυνὸς μέσος ἀμφοτέρων διαλύει* [8]) *τὴν μάχην.* **6.** *Ζεὺς ὑπὸ τῶν Νυμφῶν τῷ τῆς Ἀμαλθείας γάλακτι ἐτρέφετο* [9]). **7.** *Ἡ πρὸς τοὺς ὑπερέχοντας* [10]) *ἅμιλλα ἐπὶ συμφοραῖς προςκτᾶται* [11]) *γέλωτα.* **8.** *Οἱ ἀγαθοὶ ἵπποι τὰ γόνατα ὑγρὰ ἔχουσιν* [12]). **9.** *Ἔρχεται* [13]) *εἰς τὴν οἰκίαν διὰ τῶν τοῦ ἀνδρὸς πράξεων τὰ κτήματα ὡς ἐπὶ τὸ πολύ, δαπανᾶται* [14]) *δὲ διὰ τῶν τῆς γυναικὸς ταμιευμάτων τὰ πλεῖστα.* **10.** *Οἱ τοῦ Περσῶν βασιλέως παράδεισοι κατεσκευασμένοι* [15]) *ἦσαν δένδρεσι καὶ τοῖς ἄλλοις ἅπασι καλοῖς, ὅσα ἡ γῆ φύει* [16]). **11.** *Ἐν τῷ τοῦ Διὸς τοῦ Δωδωναίου ἱερῷ δρυὸς λόγοι μαντικοὶ πρῶτοι ἐγένοντο* [17]). **12.** *Μυθολογοῦσι* [18]) *τινες, τὸ πρῶτον ἄρξαι* [19]) *τῆς Αἰγύπτου θεούς* [19]) *καὶ ἥρωας* [19]). **13.** *Ἡ μὲν Ἰωνικὴ φιλοσοφία ἤρξατο* [20]) *ἀπὸ Θάλεω, ἡ δ' Ἰταλικὴ ἀπὸ Πυθαγόρου.* **14.** *Πτερέλαον ἀθάνατον ἐποίησε* [21]) *Ποσειδῶν, ἐν τῇ κεφαλῇ χρυσῆν ἐνθεὶς* [22]) *τρίχα.* **15.** *Τῶν θαυματοποιῶν τινες ἐπὶ κάλων μετέωροι βαδίζουσιν* [23]). **16.** *Αἰακὸς τὰς κλεῖς τοῦ Ἅιδου ἐφύλαττεν* [24]).

---

1) Krasis aus *τὰ ἀλ.* 2) *zu sagen*, v. *λέγω.* 3) *wir sehen*, v. *ὁράω.* 4) part. praes. v. *φιλοτιμέομαι*, im Deutschen durch den inf. *ihre Ehre setzen*, worein? *ἐπί* c. dat. 5) *der Sohn*, im Griech. genügt der bloße Artikel. 6) *forderte heraus*, med. v. *προκαλέω.* 7) part. aor. pass. v. *βάλλω*, werfe, *welcher — herabfiel.* 8) *beendigte*, praes. v. *διαλύω*, löse auf. 9) *wurde ernährt*, v. *τρέφω*, womit? dat. 10) *ὑπερέχων*, part. praes. v. *ὑπερέχω*, bin überlegen. 11) *bringt noch dazu ein*, v. *προςκτάομαι.* 12) *haben*, 3. pl. v. *ἔχω.* 13) *es kommt*, v. *ἔρχομαι*, s. I, 25, 15. 14) *es wird verwendet*, v. *δαπανάω.* 15) part. perf. pass. v. *κατασκευάζω*: *versehen*, womit? dat. 16) *hervorbringt*, v. *φύω.* 17) *gab es*, 3. pl. aor. 2. med. v. *γίγνομαι.* 18) *es erzählen*, 3. pl. v. *μυθολογέω.* 19) acc. c. inf. *dass — geherrscht haben*, inf. aor. v. *ἄρχω*, über was? gen. 20) *begann*, aor. med. v. *ἄρχομαι*, mit wem? *ἀπό* c. gen. 21) *machte*, aor. v. *ποιέω.* 22) part. aor. 2. v. *ἐντίθημι*, *indem er einsetzte.* 23) *gehen*, 3. pl. v. *βαδίζω.* 24) *bewahrte*, v. *φυλάττω.*

17. Ὠφελοῦσιν[1]) αἱ κύνες τά τε θηρία ἀπερύκουσαι[2]) ἀπὸ λύμης καρπῶν καὶ προβάτων, καὶ τῇ ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι[2]). **18.** Θηρεύουσι[3]) τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοί, τοῖς δ' ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί[4]). **19.** Εἰ καλὸν ἔχει[5]) τις σῶμα καὶ ψυχὴν κακήν, καλὴν ἔχει ναῦν καὶ κυβερνήτην κακόν. **20.** Ξέρξῃ νῆες ἦσαν[6]) χίλιαι ἐν τῇ ἐν Σαλαμῖνι μάχῃ. **21.** Ὀνείρῳ ἔοικεν[7]) ὁ τῶν ἀπαιδεύτων βίος, κενὰς ἔχων[8]) φαντασίας. **22.** Ὦ ἀηδοῖ, ὄρνεων ξύννομε, τῶν ἐμῶν ὕμνων ξύντροφε. **23.** Ἡρακλῆς τοῖς Ἐργίνου πρέσβεσι τὰ ὦτα ἀπέτεμεν[9]). **24.** Αἱ Ἀμαζόνες μάχην συνῆψαν[10]) ἐν χρῷ περὶ τὴν Πνύκα καὶ τὸ Μουσεῖον. **25.** Αἱ ἐν τῇ Πελοποννήσῳ πόλεις μάλιστα ἐτίμων[11]) τὸν Ποσειδῶ. **26.** Σταγόνες ὕδατος πέτρας κοιλαίνουσιν[12]). **27.** Χείλων ἐτελεύτησεν[13]) ἐν Πίσῃ, τὸν υἱὸν ὀλυμπιονίκην ἀσπασάμενος[14]) πυγμῆς. **28.** Σώφρονες πατέρες τοὺς υἱεῖς ἀπὸ τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν[15]). **29.** Λυκοῦργος τοῖς μειρακίοις ἐν ταῖς ὁδοῖς ἐπέταξεν[16]) ἐντὸς τοῦ ἱματίου τὼ χεῖρε ἔχειν[17]). **30.** Γνώμη κρείσσων ἐστὶν ἢ ῥώμη χειρῶν. **31.** Ἀλόγιστοί εἰσιν, οἳ δι' ἐλπίδα μειζόνων τὰ ἐν χερσὶν ὄντα[18]) προΐενται[19]).

---

1) *es nützen*, 3. pl. v. ὠφελέω. 2) v. ἀπερύκων u. συμπαρέχων, part. praes. v. ἀπερύκω u. συμπαρέχω, *indem sie abhalten und verschaffen*. 3) *es erjagen*, 3. pl. v. θηρεύω, womit? dat. 4) v. πολύς. 5) *hat*, v. ἔχω. 6) im Deutschen: *hatte*, wie bei esse c. dat. 7) *gleicht*, v. ἔοικα. 8) part. praes. v. ἔχω, *indem es hat*. 9) *schnitt ab*, aor. 2. v. ἀποτέμνω. 10) *lieferten*, aor. v. συνάπτω, füge zusammen. 11) *verehrten*, v. τιμάω, ehre. 12) *höhlen aus*, v. κοιλαίνω, 13) *starb*, aor. v. τελευτάω. 14) part. aor. med. v. ἀσπάζομαι, *als er umarmt hatte*. 15) *halten ab*, v. εἴργω. 16) *verordnete*, aor. v. ἐπιτάσσω. 17) *zu haben*, v. ἔχω. 18) v. ὤν, part. praes. v. εἰμί, *dasjenige, was — ist*. 19) *aufgeben*, 3. pl. med. v. προΐημι.

VIII.

Gemischte Beispiele über die Deklination der Substantiva.

1. Ὡς ἡδύ γ' ἐν ἀδελφοῖς ἐστιν ὁμονοίας ἔρως. 2. Ὁ λόγος, ὥσπερ πλάστης ἀγαθός, καλὸν τῇ ψυχῇ περιτίθησι[1]) σχῆμα. 3. Σωκράτης ἐρωτηθείς, τί εὐγένεια, Εὐκρασία, ἔφη, ψυχῆς καὶ σώματος. 4. Οὐκ ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατεσκευασμέναι[2]) κλῖναι καὶ πορφυροῖ τάπητες, οὐδὲ ὑπόβαθρα καὶ παστάδες ὕπνους ποιοῦσιν[3]), ἀλλ' ἔργα καὶ πόνοι. 5. Ἐκ καλῶν λόγων ἐν ταῖς ψυχαῖς σωφροσύνη ἐγγίγνεται[4]). 6. Αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοί, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν[5]). 7. Τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον, καὶ μικροὶ καιροὶ μεγάλων[6]) πραγμάτων αἴτιοι γίγνονται[7]). 8. Περίανδρος ἐρωτηθείς, τί ἐστιν ἐλευθερία, εἶπεν, Ἀγαθὴ συνείδησις. 9. Ἡ μὲν τῶν χρηστῶν ὁμιλία ἄσκησίς ἐστι τῆς ἀρετῆς, ἡ δὲ τῶν πονηρῶν κατάλυσις. 10. Μέγιστον ἀγαθόν ἐστι μετὰ νοῦ χρηστότης. 11. Πᾶς ὅ[8]) τε ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος[9]). 12. Ἀκολουθεῖ[10]) ἀναισχυντίᾳ καὶ ἀναιδείᾳ ὕβρις καὶ ἀδικία, τούτοις[11]) δὲ ἕπεται[12]) ὄλεθρος. 13. Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος ἔφη, τοσούτῳ βασιλείαν[13]) διαφέρειν[13]) τυραννίδος, ὅσον νόμον ἀνομίας καὶ ἐλευθερίαν δουλείας. 14. Τῶν πραγμάτων τὰ μὲν ἀργυρίου ὠνητά ἐστιν[14]), οἷον οἰκία, τὰ δὲ χρόνου καὶ ἐπιμελείας, ὡς παιδεία. 15. Ἡ παιδεία τοῖς μὲν νέοις σωφροσύνη, τοῖς δὲ πρεσβυτέροις[15]) παραμυθία, τοῖς δὲ πένησι πλοῦτος, τοῖς δὲ πλουσίοις κόσμος ἐστίν. 16. Ἡ πορφύρα διάφορον ὑποφαίνει[16]) χρῶμα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ λύχνῳ.

---

1) *giebt*, v. περιτίθημι, lege um. 2) part. perf. pass. v. κατασκευάζω, *verfertigte*. 3) *machen*, v. ποιέω. 4) *entsteht*, v. ἐγγίγνομαι. 5) *führen*, 3. pl. v. ἄγω. 6) v. μέγας. 7) *werden*, 3. pl. v. γίγνομαι. 8) ὁ gehört zu χρυσός, s. VI, 26, 23. 9) ergänze ἐστί. 10) *es kommt nach*, v. ἀκολουθέω. 11) v. οὗτος. 12) *folgt*, v. ἕπομαι. 13) acc. c. inf. *dass sich unterscheide*, inf. v. διαφέρω, wovon? gen. 14) s. I, 25, 15. 15) comparat. v. πρέσβυς. 16) *zeigt*, v. ὑποφαίνω.

17. Ὡς ὄψις ἐν ὀφθαλμῷ,[1]) ὁ νοῦς ἐν τῇ ψυχῇ. **18.** Ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφοῦ ἡ φρόνησις[2]). **19.** Ἡ αὐτάρκεια, καθάπερ ὅδος βραχεῖα[3]) καὶ ἐπιτερπής, χάριν μὲν ἔχει[4]) μεγάλην[5]), πόνον δὲ μικρόν. **20.** Ἄνευ εὐψυχίας οὐδεμία[6]) τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει[7])· φόβος γὰρ μνήμην ἐκπλήσσει[8]), τέχνη δ' ἄνευ αὐτῆς οὐδὲν ὠφελεῖ[9]). **21.** Οὕτως ἰσχυρόν ἐστιν ἀλήθεια, ὥστε πάντων ἐπικρατεῖν[10]) τῶν ἀνθρωπίνων λογισμῶν. **22.** Φασὶν[11]) Αἰγύπτιοι τὴν Ἶσιν[12]) φαρμάκων τε πολλῶν[13]) πρὸς ὑγίειαν εὑρέτιν γεγονέναι[12]) καὶ τῆς ἰατρικῆς ἐπιστήμης μεγάλην[14]) ἔχειν[15]) ἐμπειρίαν. **23.** Ἀναξαγόρας ἐρωτηθείς ποτε, εἰς τί γεγένηται[16]), Εἰς θεωρίαν, ἔφη, ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ. **24.** Ἀντισθένης πρὸς μειράκιόν τι, μέλλον[17]) φοιτᾶν[18]) αὐτῷ καὶ πυθόμενον[19]), τίνων αὐτῷ δεῖ[20]), Βιβλιαρίου, ἔφη, καινοῦ καὶ γραφείου καινοῦ καὶ πινακιδίου καινοῦ, τὸν νοῦν παρεμφαίνων[21]). **25.** Οὐ τὸν βίον ἐκ τῆς τοῦ λόγου δεινότητος πιστεύομεν[22]), ἀλλὰ τὸν λόγον ἐκ τῆς περὶ τὸν βίον εὐταξίας. **26.** Ὥσπερ τῶν δένδρων[23]) τὰ καλοὺς φέροντα[24]) καρποὺς πρὸ τῶν καρπῶν καὶ ἐκ τῶν φύλλων δυνατόν ἐστι κατανοεῖν[25]), οὕτως ἐκ τῶν λόγων πρὸ τῶν ἔργων καὶ οἱ πλεῖστοι τῶν ἀνθρώπων

---

1) ergänze οὕτως ἐστίν, *so ist*. 2) ergänze ἐστίν. 3) v. βραχύς. 4) *hat*, v. ἔχω. 5) v. μέγας. 6) v. οὐδείς. 7) *ist stark*, v. ἰσχύω. 8) *verwirrt*, v. ἐκπλήσσω. 9) *nützt*, v. ὠφελέω. 10) *dass sie überwindet*, inf. praes. v. ἐπικρατέω, wen? gen. 11) (sie) *sagen*, v. φημί. 12) acc. c. inf. *dass — sei*, inf. perf. 2. v. γίγνομαι. 13) v. πολύς. 14) v. μέγας. 15) *dass sie habe*, inf. praes. v. ἔχω. 16) — *er in der Welt sei*, ind. perf. pass. v. γίγνομαι, s. Anm. 20. 17) part. praes. v. μέλλω, *welcher wollte*. 18) *zum Unterricht kommen*, v. φοιτάω, zu wem? dat. 19) part. aor. 2. v. πυνθάνομαι, (welcher) *frug*. 20) *er bedürfe*, was? gen. Im Griech. kann der indirekte Fragesatz auch im indicativ stehen. 21) part. praes. v. παρεμφαίνω, *und deutete damit* (durch καινοῦ) *zugleich an; καινοῦ* getrennt: καὶ νοῦ. 22) *wir finden Vertrauen erweckend*, v. πιστεύω, glaube, halte für wahr. 23) im Deutschen mit *von*. 24) v. φέρων, part. praes. v. φέρω, *diejenigen, welche tragen*. 25) *wahrnehmen*, inf. v. κατανοέω.

διαγιγνώσκονται[1]. **27.** *Ἡ μὲν ἶρις ἐξ ἐναντίας φαίνεται*[2] *ἡλίου τε καὶ σελήνης, ἡ δ' ἅλως κύκλῳ παντὸς ἄστρου.* **28.** *Ἐκ τῆς ἐν Μαραθῶνι μάχης καὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας καὶ μάλισθ' ὅτι τὴν αὑτῶν πόλιν ἐξέλιπον*[3] *οἱ Ἀθηναῖοι ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας, ἅπαντες αὐτοὺς ἐγκωμιάζουσιν*[4]. **29.** *Βίας δίκην ὑπέρ τινος λέξας*[5], *ἤδη ὑπέργηρως ὑπάρχων*[6], *μετὰ τὸ καταπαῦσαι*[7] *τὸν λόγον ἀπέκλινε*[8] *τὴν κεφαλὴν εἰς τοὺς τοῦ τῆς θυγατρὸς υἱοῦ κόλπους· εἰπόντος*[9] *δὲ καὶ τοῦ ἐξ ἐναντίας καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων*[10], *λυθέντος*[11] *τοῦ δικαστηρίου νεκρὸς εὑρέθη*[12]. —

30. *Θράσει μὲν οὐδεὶς οὐδέπω*[13], *πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο*[14]. **31.** *Τὸ πείθεσθαι*[15] *μέγιστον ἀγαθόν ἐστι καὶ ἐν πόλει καὶ ἐν στρατιᾷ καὶ ἐν οἴκῳ.* **32.** *Συνεθίζεσθαι*[16] *δεῖ ῥίγει, θάλπει, δίψει, λιμῷ, τροφῆς λιτότητι, κοίτης σκληρότητι.* **33.** *Τοὺς μὲν δούλους*[17] *προσήκει διὰ φόβον πράττειν*[17] *τι τῶν δικαίων*[18], *τοὺς δὲ ἐλευθέρους δι' αἰδῶ καὶ τὸ καλόν.* **34.** *Τὸ συνεθίζειν*[19] *ἐν ταῖς ἁπλαῖς καὶ οὐ πολυτελέσι διαίταις, καὶ ὑγιείας ἐστὶ συμπληρωτικὸν καὶ πρὸς τὰς ἀναγκαίας τοῦ βίου*

---

1) *werden erkannt*, v. *διαγιγνώσκω*. 2) *zeigt sich*, v. *φαίνομαι*. 3) *sie verliessen*, aor. 2. v. *ἐκλείπω*. 4) *rühmen*, 3. pl. v. *ἐγκωμιάζω*. 5) part. aor. v. *λέγω*, *nachdem B. gehalten hatte.* 6) part. praes. v. *ὑπάρχω*, *als er war.* 7) das beenden, *die Beendigung*, mit folg. gen.; inf. aor. v. *καταπαύω*. 8) *lehnte er*, v. *ἀποκλίνω*. 9) gen. absol. (wie im Lat. der abl. absol.) *nachdem — gesprochen hatte*, *εἰπών*, part. des aor. 2. *εἶπον*. 10) gen. absol. (nachdem) — *abgegeben hatten*, *ἐνεγκών*, part. des aor. 2. v. *φέρω*, trage. 11) gen. absol. *als — aufgehoben wurde*, *λυθείς*, part. aor. pass. v. *λύω*, löse. 12) *wurde er gefunden*, aor. v. *εὑρίσκω*. 13) Die wiederholte Negation verstärkt die vorangehende; im Deutschen keine zwei Negationen! 14) *hat erworben*, aor. v. *ἐπικτάομαι*, wodurch? dat. 15) *das Gehorsam leisten*, inf. v. *πείθομαι*. 16) *sich gewöhnen*, inf. pass. v. *συνεθίζω*, woran? dat. 17) acc. c. inf. *dass — thun*, v. *πράττω*. 18) d. gen. durch *von*. 19) das eingewöhnen, *die Gewöhnung*, inf. v. *συνεθίζω*, woran? *ἐν* c. dat.

χρήσεις ὄκνον ποιεῖ[1]) τὸν ἄνθρωπον. **35.** Ὕπνος πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν[2]) ἁρμόττων ἐστὶ κατὰ φύσιν. **36.** Οἱ τὸ σῶμα εὖ διακείμενοι[3]) καὶ καύματα καὶ ψύχη ὑπομένουσιν[4])· οὕτω δὲ καὶ οἱ τὴν ψυχὴν καλῶς διακείμενοι καὶ ὀργὴν καὶ λύπην καὶ περιχάρειαν καὶ τὰ ἄλλα πάθη φέρουσιν[5]). **37.** Ἐγκράτειαν ἄσκει[6]) κέρδους, ὀργῆς, ἡδονῆς, λύπης. **38.** Μέτρον ἔστω[7]) σοι[8]) παντὸς σίτου καὶ ποτοῦ ἡ πρώτη τῆς ὀρέξεως ἔμπλησις. **39.** Ἡμερήσιοι ὕπνοι[9]) σώματος ὄχλησιν ἢ ψυχῆς ἀδημοσύνην ἢ ἀργίαν ἢ ἀπαιδευσίαν σημαίνουσιν[10]). **40.** Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει[11]) μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς. **41.** Βίων ὁ σοφιστὴς τὴν φιλαργυρίαν[12]) μητρόπολιν ἔλεγε[13]) πάσης κακίας εἶναι[12]). **42.** Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ. **43.** Οἶνοί τε καὶ σαρκῶν ἐμφορήσεις σῶμα μὲν ἰσχυρὸν ποιοῦσι[14]) καὶ ῥωμαλέον, ψυχὴν δὲ ἀσθενῆ. **44.** Τὰ ἴχνη τοῦ λαγὼ τοῦ μὲν χειμῶνος[15]) μακρά ἐστι διὰ τὸ μῆκος τῶν νυκτῶν· τοῦ δὲ θέρους[15]) βραχέα[16]) διὰ τὸ ἐναντίον. **45.** Λύκων ἔφασκε[17]) δεῖν[18]) παρεζεῦχθαι[19]) τοῖς παισὶ τὴν αἰδῶ[19]) καὶ φιλοτιμίαν ὡς τοῖς ἵπποις μύωπα καὶ χαλινόν. **46.** Δημήτριος Φαληρεὺς τοὺς νέους[20]) ἔφη δεῖν[21]) ἐπὶ μὲν τῆς οἰκίας τοὺς γονέας αἰδεῖσθαι[20]), ἐν δὲ ταῖς ὁδοῖς τοὺς ἀπαντῶντας[22]), ἐν δὲ ταῖς ἐρημίαις ἑαυτούς.

---

1) *macht*, v. ποιέω. 2) gen. pl. zu ἐγώ, den gen. durch *von*. 3) part. zu διάκειμαι, *diejenigen, welche sich befinden*; in Bezug worauf? acc. 4) *halten aus*, 3. pl. v. ὑπομένω. 5) *ertragen*, 3. pl. v. φέρω. 6) *übe*, imperat. v. ἀσκέω. 7) *soll sein*, imperat. v. εἰμί. 8) dat. sg. v. σύ. 9) im Deutsch. d. sing. 10) *zeigt an*, 3. pl. v. σημαίνω. 11) *hat*, v. ἔχω, s. I, 25, 15. 12) acc. c. inf. *dass — sei*, inf. v. εἰμί. 13) *sagte*, v. λέγω. 14) *machen*, 3. pl. v. ποιέω. 15) gen. durch *in*; der gen. steht bei Angabe einer in ihrer Dauer nicht näher bestimmten Zeit, im Verlauf welcher etwas geschieht. 16) neutr. pl. v. βραχύς. 17) *sagte*, v. φάσκω. 18) *es müsse*, inf. v. δεῖ. 19) acc. c. inf. abhängig, v. δεῖν, *beigegeben sein*, inf. perf. pass. v. παραζεύγνυμι, joche an. 20) acc. c. inf. *scheuen*, inf. v. αἰδέομαι. 21) *es müssten*, inf. v. δεῖ. 22) v. ἀπαντῶν, part. praes. v. ἀπαντάω, *begegne*.

47. *Διογένης ἔλεγεν*[1], *ὅτε μὲν ἴδοι*[2] *κυβερνήτας ἐν τῷ βίῳ καὶ ἰατροὺς καὶ φιλοσόφους, συνετώτατον*[3] *εἶναι*[3] *τῶν ζώων νομίζειν*[1] *τὸν ἄνθρωπον*[3]*· ὅτε δὲ πάλιν ὀνειροκρίτας καὶ μάντεις καὶ τοὺς προςέχοντας*[4] *τούτοις*[5] *ἢ τοὺς ἐπὶ δόξῃ καὶ πλούτῳ πεφυσημένους*[6], *οὐδὲν ματαιότερον*[7] *νομίζειν*[8] *ἀνθρώπου*[9]. **48.** *Ἐπειδὴ Ἡρακλῆς μετήλλαξε*[10] *τὸν βίον, θεὸς ἐκ θνητοῦ γενόμενος*[11], *κατὰ μὲν ἀρχὰς οἱ παῖδες αὐτοῦ διὰ τὴν τῶν ἐχθρῶν δύναμιν ἐν πολλοῖς*[12] *πλάνοις καὶ κινδύνοις ἦσαν, τελευτήσαντος*[13] *δ᾽ Εὐρυσθέως κατῴκησαν*[14] *ἐν Δωριεῦσιν.* **49.** *Ὡς τῆς σελήνης ἀφώτιστος μὲν ἡ οὐσία καθ᾽ αὑτήν, μεταλήψει δὲ τῆς ἡλιακῆς αὐγῆς φωτίζεται*[15], *οὕτως οὐδέν, ὃ μὴ μετέχει*[16] *τῆς ἀρετῆς, ἀγαθόν.* **50.** *Θαυμάζω μᾶλλον τοῦ γήρως*[9] *τὴν σωφρονοῦσαν*[17] *νεότητα· τὸ μὲν γὰρ ἐν τῷ λιμένι μένει*[18] *καὶ διαφεύγει*[19] *τὸν κίνδυνον, ἡ δὲ ἐν τῷ πελάγει πολλοῖς τοῖς πνεύμασι μαχομένη*[20] *διασώζει*[21] *τὸ σκάφος.*

51. *Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες*
Γιγνώσκουσ᾽[22]*· ἀνδρὸς δ᾽ οἶνος ἔδειξε*[23] *νόον.*

52. *Κακοὶ γίγνονται*[24] *ὀφθαλμοὶ καὶ ὦτα ἀφρόνων ἀν-*

---

1) *sagte*, v. λέγω, davon abhängig ist νομίζειν, *er glaube*, inf. v. νομίζω. 2) *er sehe*, opt. des aor. 2. εἶδον zu ὁράω. 3) acc. c. inf. abhängig von νομίζειν. — συνετ. superl. v. συνετός. 4) v. προςέχων, part. praes. *diejenigen, welche Aufmerksamkeit schenken*. 5) dat. pl. zu οὗτος. 6) part. perf. pass. v. φυσάω, *diejenigen, welche aufgeblasen, hochmüthig sind*. 7) comparat v. μάταιος. 8) (so) *halte er*, wofür? acc.; abhängig von ἔλεγεν. 9) s. I, 10, 11. 10) geändert hatte, *in ein anderes Leben eingegangen war*, aor. v. μεταλλάσσω. 11) *indem er geworden war*, part. aor. v. γίγνομαι. 12) v. πολύς. 13) gen. abs. *als gestorben war*, part. aor. 2. v. τελευτάω. 14) *liessen sich nieder*, aor. v. κατοικέω. 15) (wie) *erhellt wird*, v. φωτίζω. 16) *Theil hat*, v. μετέχω, woran? gen. 17) v. σωφρονῶν, οὖσα, οὖν, *besonnen*, part. praes. p. σωφρονέω. 18) *bleibt*, v. μένω. 19) *flieht*, v. διαφεύγω. 20) part. praes. v. μάχομαι, *kämpft und*, mit wem? dat. 21) *rettet*, v. διασώζω. 22) *erkennen*, 3. pl. v. γιγνώσκω. 23) *hat schon oft gezeigt*, aor. v. δείκνυμι. 24) *werden*, 3. pl. v. γίγνομαι.

θρώπων, ψυχὰς βαρβάρους ἐχόντων[1]). **53.** *Ῥᾷόν*[2]) *ἐστιν ἑνὸς*[3]) *ἀνδρὸς γνώμῃ προσέχειν*[4]) *τὸν νοῦν ἢ πολλαῖς*[5]) *καὶ παντοδαπαῖς διανοίαις.* **54.** *Ἰφικράτης τὸ στράτευμα*[8]) *οὕτως ἔφασκε*[6]) *δεῖν*[7]) *συντετάχθαι*[8]) *ὡς ἓν*[9]) *σῶμα, θώρακα μὲν ἔχον*[10]) *τὴν φάλαγγα, χεῖρας δὲ τοὺς ψιλούς, πόδας δὲ τοὺς ἱππέας, κεφαλὴν δὲ τὸν στρατηγόν.* **55.** *Μὴ*[11]) *παιδὶ πλοῦτον, μηδὲ ἀνδρὶ ἀπαιδεύτῳ δυναστείαν.* **56.** *Ὁ ἀργὸς καὶ ἀκρατὴς βίος κακοῖς ἀνδράσιν ἴδιος.* **57.** *Γνώμαις ἀνδρῶν εὖ οἰκοῦνται*[12]) *πόλεις, ἀλλ' οὐ λίθοις καὶ ξύλοις.* **58.** *Ὥσπερ λύκος ὅμοιος κυνί, οὕτω καὶ κόλαξ καὶ παράσιτος ὅμοιος φίλῳ.* **59.** *Βούσιρις, Αἰγυπτίων βασιλεύς, τοὺς ξένους ἔθυε*[13]) *ἐπὶ βωμῷ Διός.* **60.** *Φερεκύδης τὰ ἐδάφη τῶν Κρητικῶν νεῶν φησι*[14]) *ἐκκόψαι*[15]) *τὸν Θησέα*[15]), *τὴν δίωξιν ἀφαιρούμενον*[16]). **61.** *Οἱ θεοί, φησὶ*[14]) *Ξενοφῶν, πάντα*[17]) *ἴσασι*[18]) *καὶ προσημαίνουσι*[19]) *καὶ ἐν ἱεροῖς καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις καὶ ἐν ὀνείρασιν.* **62.** *Διογένης θεασάμενός*[20]) *ποτε παιδίον ταῖς χερσὶ πῖνον*[21]) *ἐξέρριψε*[22]) *τῆς πήρας τὴν κοτύλην εἰπών*[23]), *Παιδίον με*[24]) *νενίκηκεν*[25]) *εὐτελείᾳ.* **63.** *Ἡ μὲν τοῦ σώματος ἰσχὺς γηράσκει*[26]), *ἡ δὲ τῆς ψυχῆς ῥώμη τῶν ἀγαθῶν ἀνδρῶν ἀγήρατός ἐστιν.* **64.** *Ποῦ ἥδιον*[27]) *ἂν*

---

1) *ἔχων*, part. praes. v. *ἔχω*, *welche haben.* 2) neutr. comparat. v. *ῥᾴδιος.* 3) gen. v. *εἷς.* 4) *zuzuwenden*, v. *προσέχω.* 5) v. *πολύς.* 6) s. VIII. 45, 17. 7) *es müsste*, inf. v. *δεῖ.* 8) acc. c. inf. abhängig von *δεῖν*, *geordnet sein*, inf. perf. pass. v. *συντάσσω.* 9) v. *εἷς.* 10) part. praes v. *ἔχω*, *der — habe*, als was? acc. 11) ergänze: *man soll geben;* ähnlich im Deutschen bei *ja nicht*, *nur nicht.* 12) *werden verwaltet*, v. *οἰκέω*, wodurch? dat 13) *opferte*, v. *θύω.* 14) *sagt*, v. *φημί.* 15) acc. c. inf. *dass — durchgeschlagen habe*, inf. aor. v. *ἐκκόπτω.* 16) part. praes. med. v. *ἀφαιρέω*, nehme weg, *wodurch er — beseitigte.* 17) v. *πᾶς.* 18) *wissen*, 3. pl. v. *οἶδα.* 19) *deuten es an*, v. *προσημαίνω.* 20) part. aor. med. v. *θεάομαι*, *als — sah.* 21) part. praes. v. *πίνω*, im Deutschen durch den inf. *trinken;* womit? dat. 22) *warf er heraus*, aor. v. *ἐκρίπτω*, aus was? gen. 23) part. des aor. 2. *εἶπον*, *und sagte.* 24) acc. zu *ἐγώ.* 25) *hat besiegt*, *übertroffen*, perf. act. v. *νικάω*, worin? dat. 26) *altert*, v. *γηράσκω.* 27) neutr. compar. v. *ἡδύς.*

εἴη[1]) θερίσαι[2]) ὕδασί[3]) τε καὶ πνεύμασι καὶ σκιαῖς ἢ κατ᾽ ἀγρόν; **65.** Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται[4]), δίδους[5]) βάσανον φανεράν· ἐν δὲ χρυσῷ ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ᾽[6]) ἔλεγχον. **66.** Διῄρουν[7]) οἱ Πυθαγόρειοι τὰς ἡλικίας τῶν ἀνθρώπων εἰς τέσσαρα μέρη, παιδός, νεανίσκου, ἀνδρός, γέροντος· καὶ τούτων[8]) τῶν ἡλικιῶν ἑκάστην[10]) ὁμοίαν ἔφασαν[9]) εἶναι[10]) ταῖς κατὰ τὸν ἐνιαυτὸν τῶν ὡρῶν μεταβολαῖς, τὸ μὲν ἔαρ τῷ παιδὶ δίδοντες[11]), τὸ δὲ θέρος τῷ νεανίσκῳ, τὸ δὲ φθινόπωρον τῷ ἀνδρί, τὸν δὲ χειμῶνα τῷ γέροντι.

IX.

Adjectiva.

1. Σοφία μόνη τῶν κτημάτων ἀθάνατος. **2.** Οὐ φίλαυτός ἐστιν ἡ ἀρετή, ἀλλὰ κοινωνικὴ καὶ πολιτική. **3.** Δειλὸν ὁ πλοῦτος καὶ φιλόψυχον κακόν. **4.** Πιστὸν[12]) ἡ γῆ, ἄπιστον[12]) ἡ θάλασσα. **5.** Κοῦφον χρῆμα ποιητής ἐστι καὶ πτηνὸν καὶ ἱερόν· ἡ δὲ Μοῦσα ἐνθέους ποιεῖ[13]) αὐτούς. **6.** Τοῖς ἀνίσοις τὰ ἴσα ἄνισα γίγνεται[14]). **7.** Αἱ μὲν τῶν φρονίμων ἐλπίδες εἰσὶν ἐφικταί, αἱ δὲ τῶν ἀσυνέτων ἄλογοι καὶ ἀδύνατοι. **8.** Καλὸν[12]) ἡ ἀλήθεια καὶ μόνιμον. **9.** Τὸ φιλότιμόν ἐστιν ἀγήρων. **10.** Ἐν Κιλικίᾳ πεδίον ἦν μέγα[15]) καὶ καλὸν καὶ ἐπίρρυτον καὶ δένδρων παντοδαπῶν σύμπλεων καὶ ἀμπέλων. **11.** Σικελία νῆσος ἦν εὐδαίμων καὶ πολυάνθρωπος. **12.** Ἡ παιδεία καθάπερ εὐδαίμων χώρα πάντα[16]) τὰ ἀγαθὰ φέρει[17]).

---

1) optat. v. εἰμί, mit ἄν: *ist es wohl.* 2) *den Sommer zuzubringen*, inf. aor. v. θερίζω. 3) wodurch? 4) *wird geprüft*, v. ἐξετάζω. 5) part. praes. v. δίδωμι, *und gibt.* 6) ἔδωκε, *hat schon oft gegeben*, aor. 1. v. δίδωμι. 7) *es theilten*, v. διαιρέω. 8) v. οὗτος. 9) *sie sagten*, v. φημί. 10) acc. c. inf. 11) v. δίδους, part. praes. v. δίδωμι, *indem sie beilegten.* 12) das Neutrum im Deutschen durch den Zusatz: *etwas.* 13) *macht*, v. ποιέω. 14) *wird*, v. γίγνομαι, s. I, 25, 15. 15) v. μέγας. 16) v. πᾶς. 17) *trägt*, *bringt*, v. φέρω.

13. Πλάτων φησὶ[1] τὰς Μούσας[2] ἐν ταῖς ψυχαῖς τῶν εὐφυῶν οἰκεῖν[2]. 14. Κολάζειν[3] μὲν δεῖ τοὺς φιλοψευδεῖς, φιλεῖν[4] δὲ τοὺς φιλαλήθεις. 15. Τοὺς οἴνου ἀκρατεῖς οὐκ ἂν[5] δύναιο[5] ἐπιμελεῖς ποιῆσαι[6]. 16. Τράπεζαν πολυτελῆ μὲν τύχη παρατίθησιν[7], αὐτάρκη δὲ σωφροσύνη. 17. Οἱ μὲν ἀκρατεῖς ἐν ταῖς ἀρρωστίαις, οἱ δὲ ἄφρονες ἐν ταῖς ἀτυχίαις εἰσὶ δυςθεράπευτοι. 18. Ζήλου[8] τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα. 19. Κέκροψ, συμφυὲς ἔχων[9] σῶμα ἀνδρὸς καὶ δράκοντος, τῆς Ἀττικῆς ἐβασίλευσε[10] πρῶτος. 20. Τὸ ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις, τὸ δὲ ψεῦδος γλυκὺ καὶ προςηνές· ὥςπερ καὶ τοῖς νοσοῦσι[11] τὰ ὄμματα τὸ μὲν φῶς ἀνιαρόν, τὸ δὲ σκότος ἄλυπον καὶ φίλον. 21. Ἡ τύχη δύναται[12] νόσῳ περιβαλεῖν[13] καὶ χρήματα ἀφελέσθαι[14], κακὸν δὲ καὶ δειλὸν καὶ ταπεινόφρονα καὶ ἀγεννῆ καὶ φθονερὸν οὐ δύναται ποιῆσαι[15] τὸν ἀγαθὸν καὶ ἀνδρώδη καὶ μεγαλόψυχον. 22. Πάντα τὰ ἀγαθὰ ὠφέλιμά ἐστι[16] καὶ χρηστὰ καὶ συμφέροντα καὶ λυσιτελῆ καὶ σπουδαῖα καὶ πρέποντα καὶ καλὰ καὶ οἰκεῖα· τὰ δὲ κακὰ ἐκ τῶν ἐναντίων πάντα βλαβερὰ καὶ δύσχρηστα καὶ ἀσύμφορα καὶ ἀλυσιτελῆ καὶ φαῦλα καὶ ἀνοικεῖα καὶ ἀπρεπῆ καὶ αἰσχρά. 23. Βραχὺς ὁ βίος, ἡ δὲ τέχνη μακρά. 24. Οὔτε μάχαιραν ἀμβλεῖαν οὔτε παρρησίαν ἄτακτον ἔχειν[17] δεῖ. 25. Ἡ μὲν ῥίζα τῆς παιδείας ἐστὶ πικρά, οἱ δὲ καρποὶ

---

1) *sagt*, v. φημί. 2) acc. c. inf. *dass — wohnen*, inf. v. οἰκέω. 3) *strafen*, inf. v. κολάζω. 4) *lieben*, inf. v. φιλέω. 5) *man kann wohl*, 2. sg. optat. praes. v. δύναμαι. 6) *machen*, inf. aor. v. ποιέω. 7) *setzt vor*, v. παρατίθημι. 8) *eifre nach*, v. ζηλόω, wem? acc. 9) part. praes. v. ἔχω, *welcher hatte*. 10) *herrschte* (als König), aor. v. βασιλεύω, worüber? gen. 11) νοσῶν, οῦντος, part. praes. v. νοσέω, *denen, welche — leiden*, woran? acc. 12) *kann*, v. δύναμαι. 13) *heimsuchen*, inf. aor. 2. v. περιβάλλω, werfe um (etwas) herum, womit? dat. 14) *nehmen*, inf. aor. 2. med. v. ἀφαιρέω. 15) *machen*, inf. aor. v. ποιέω. 16) s. I, 25, 15. 17) *haben*, inf. v. ἔχω.

γλυκεῖς. **26.** *Οἱ Στωϊκοὶ ἔφασκον*[1] *δύο*[2] *μὲν ἐκ τῶν τεσσάρων στοιχείων κοῦφα εἶναι*[2], *πῦρ καὶ ἀέρα· φύσει δὲ δύο βαρέα, ὕδωρ καὶ γῆν.* **27.** *Τὰ ὄρη πόρρωθεν φαίνεται*[3] *ἀεροειδῆ καὶ λεῖα, ἐγγύθεν δὲ τραχέα.* **28.** *Οὐ πολυτελὴς τράπεζα τὸν ἡδὺν γεννᾷ*[4] *βίον, ἀλλὰ νήφων λογισμός.* **29.** *Τὰ ἐπίπονα*[5] *τῶν ἡδέων*[6] *μᾶλλον ἡγοῦ*[7] *συντελεῖν*[6] *εἰς ἀρετήν.* **30.** *Βραχεῖα τέρψις ἡδονῆς τίκτει*[8] *λύπην.* **31.** *Ἔργον ἐστὶ μακρὰν συνήθειαν ἐν βραχεῖ χρόνῳ λύειν*[9]. **32.** *Ἡ μὲν ἀμαθία θρασεῖς τοὺς ἀνθρώπους, ἡ δὲ παιδεία σοφοὺς ἀπεργάζεται*[10]. **33.** *Κέρδος αἰσχρὸν*[11] *βαρὺ κειμήλιον.* **34.** *Οἱ θρῖπες ἐμφύονται*[12] *μάλιστα τοῖς ἁπαλοῖς καὶ γλυκέσι ξύλοις.* **35.** *Ὡς χαρίεν*[13] *ἔστ' ἄνθρωπος, ἂν ἄνθρωπος ᾖ*[14]. **36.** *Ἡ ἐν Αἰγύπτῳ γῆ μάλιστά ἐστι μέλαινα.* **37.** *Οὐ πᾶσι φαίνεται*[15] *τὰ αὐτὰ ἡδέα τε καὶ λυπηρά, καθάπερ λευκά τε καὶ μέλανα.* **38.** *Ἡγεμόνι ἀεὶ αἱ μέλισσαι ἑκοῦσαι πείθονται*[16]. **39.** *Εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι*[17] *γλυκύ*[18]. **40.** *Οἱ ὅμοιοι τοῖς ὁμοίοις εὖνοί εἰσιν.* **41.** *Πολλοὶ δοκοῦσι*[18] *σώφρονες εἶναι ἄνδρες, σὺν*[19] *κόσμῳ στείχοντες*[20], *ἐλαφρόνοι περ*[21] *ὄντες*[21]. **42.** *Ἡ περὶ τοὺς ἀριθμοὺς διατριβὴ τὸν νυστάζοντα καὶ ἀμαθῆ φύσει ἐγείρει*[22], *καὶ εὐμαθῆ καὶ μνήμονα καὶ ἀγχίνουν ἀπεργάζεται*[10]. **43.** *Πλάτων τὸν κόσμον ἔφησε*[23] *ζῶον*

---

1) *sagen*, v. *φάσκω.* 2) acc. c. inf. 3) *scheinen*, 3. sg. v. *φαίνομαι*, s. I, 25, 15. 4) *schafft*, v. *γεννάω*, erzeuge. 5) *glaube*, imperat. v. *ἡγέομαι.* 6) acc. c. inf. *dass — beitrage*, inf. v. *συντελέω.* 7) s. I, 10, 11. 8) *gebiert*, v. *τίκτω.* 9) *aufzugeben*, v. *λύω*, löse. 10) *macht*, v. *ἀπεργάζομαι.* 11) ergänze: *ist.* 12) *wachsen* (in etwas), 3. pl. v. *ἐμφύομαι*, wo? dat. 13) s. IX, 4, 12. 14) *ist*, conjunct. v. *εἰμί.* 15) *scheint*, v. *φαίνομαι*, s. Anm. 3. 16) *folgen*, 3. pl. med. v. *πείθω*, *überrede.* 17) *zu blicken*, inf. aor. v. *ἐμβλέπω*, *blicke hinein.* 18) ergänze: *ist.* 18) *scheinen*, 3. pl. v. *δοκέω*, construirt wie videri. 19) hier: *in.* 20) part. praes. v. *στείχω*, *indem sie einhergehen.* 21) *und sind doch*, part. praes. v. *εἰμί.* 22) *erweckt*, v. *ἐγείρω.* 23) *erklärte*, aor. v. *φημί*, wofür? acc.

ἔμψυχον καὶ ἔννουν. **44.** Λύπην εὔνους ἰᾶται[1]) λόγος. **45.** Βελλεροφόντης ἔκτεινε[2]) τὴν πυρίπνουν Χίμαιραν. **46.** Ὁ τοῦ φίλου τρόπος ἁπλοῦς ἐστι καὶ ἀφελὴς καὶ ἄπλαστος. **47.** Ἀλέξανδρος φιάλην χρυσῆν καὶ κρατῆρας χρυσοῦς ἐνέβαλεν[3]) εἰς τὸν Ἰνδικὸν πόντον, χαριστήρια[4]) τῷ Ποσειδῶνι[5]). **48.** Οἱ Ἕλληνες εἶχον[6]) κράνη χαλκᾶ καὶ χιτῶνας φοινικοῦς καὶ κνημῖδας. **49.** Γηρυόνης εἶχε[7]) φοινικᾶς βόας. **50.** Ἑρμῆς χρυσῇ ῥάβδῳ τὰς ψυχὰς ἐψυχαγώγει[8]). **51.** Οἱ Σπαρτιᾶται εἰς τὸν ἐν τοῖς ὅπλοις ἀγῶνα στολὴν[4]) εἶχον[6]) φοινικίδα, καὶ χαλκῆν ἀσπίδα. **52.** Ῥωμύλος ἐν τοῖς ἄλλοις λαφύροις καὶ χαλκοῦν ἐκόμισε[9]) τέθριππον ἐκ Καμερίας. **53.** Οἱ Ἀθηναῖοι χιτῶνας τε λινοῦς ἐφόρουν[10]) καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλον ἀνεδοῦντο[11]) τῶν ἐν τῇ κεφαλῇ τριχῶν. **54.** Θησεὺς λέγεται[12]) ἐν Κύπρῳ δύο μικροὺς ἀνδριαντίσκους ἱδρύσασθαι[13]), τὸν μὲν ἀργυροῦν, τὸν δὲ χαλκοῦν. **55.** Ἡ παιδεία ὁμοία ἐστὶ χρυσῷ στεφάνῳ, καὶ γὰρ τιμὴν ἔχει[14]) καὶ πολυτέλειαν. **56.** Νῖσος, Μεγαρέων βασιλεύς, πορφυρᾶν εἶχεν[7]) ἐν μέσῃ τῇ κεφαλῇ τρίχα, ἧς[15]) ἀφαιρεθείσης[15]) ἐτελεύτησεν[16]). **57.** Περιφήτης, ἀνὴρ κακοῦργος, ὃν Θησεὺς ἀπέκτεινε[17]), πόδας ἀσθενεῖς ἔχων[18]), ἐφόρει[19]) κορύνην σιδηρᾶν, δι' ἧς τοὺς παριόντας[20]) ἔκτεινεν[2]). **58.** Κίμων φιλοτιμούμενος[21]) ἐξανευρεῖν[22]) τὸν Θησέως τά-

---

1) *heilt*, v. ἰάομαι. 2) *tödtete*, aor. 1. v. κτείνω. 3) *warf hinein*, aor. 2. v. ἐμβάλλω. 4) als was? 5) für wen? 6) *hatten*, v. ἔχω. 7) *hatte*. 8) *führte in den Hades*, v. ψυχαγωγέω, womit? dat. 9) *führte hinweg*, aor. v. κομίζω. 10) *trugen*, v. φορέω. 11) *steckten sich auf*, med. v. ἀναδέω, wodurch? dat. 12) *soll*, dicitur, v. λέγω. 13) *errichtet haben*, aor. med. v. ἱδρύω. 14) *sie hat*, v. ἔχω. 15) gen. abs. *und als ihm dieses genommen wurde*, part. aor. 1. pass. v. ἀφαιρέω. 16) *starb er*, aor. v. τελευτάω. 17) *tödtete*, aor. v. ἀποκτείνω. 18) part. praes. v. ἔχω, *da er hatte*. 19) *führte*, v. φορέω. 20) part. praes. v. πάρειμι, *diejenigen, welche vorübergingen, die Vorübergehenden*. 21) part. praes. v. φιλοτιμέομαι, *welcher sich bestrebte*. 22) *aufzufinden*, aor. 2. v. ἐξανευρίσκω.

φον εὗρε[1]) θήκην τε μεγάλου σώματος αἰχμήν τε παρακειμένην χαλκῆν καὶ ξίφος. 59. Εἶχον[2]) αἱ Γοργόνες κεφαλὰς μὲν περιεσπειραμένας[3]) φολίσι δρακόντων[4]), ὀδόντας δὲ μεγάλους ὡς συῶν[4]), καὶ χεῖρας χαλκᾶς καὶ πτέρυγας χρυσᾶς. 60. Μεγάλου ὄγκου πτῶμα γίγνεται[5]) μέγα. 61. Αἱ Ἰνδικαὶ κύνες εἰσὶν ἰσχυραί, μεγάλαι, ποδώκεις, οὐκ ἄψυχοι. 62. Ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας καὶ ἐπὶ τὰ ἑτοῖμα μᾶλλον τρέπονται[6]). 63. Γαστὴρ ἄγαν πληρουμένη[7]) ὕπνον πολὺν ἐπάγεται[8]). 64. Περὶ τὴν Πελοπόννησον καὶ τὴν Ἀχαΐαν καὶ τῆς Εὐβοίας τὰς κοιλάδας πολλοὶ καὶ μεγάλοι ἐγένοντο[9]) σεισμοί. 65. Ἐμπεριέχει[10]) ἡ γῆ πολλὰς ἐν ἑαυτῇ καθάπερ ὕδατος[11]), οὕτως δὲ καὶ πυρὸς[11]) πηγάς. 66. Μὴ ἐν πολλοῖς ὀλίγα λέγε[12]), ἀλλ' ἐν ὀλίγοις πολλά. 67. Τὸν ἰσχυρὸν ὄντα[13]) δεῖ πρᾷον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται[14]) μᾶλλον ἢ φοβῶνται[15]). 68. Γενναῖα καλοῦμεν[16]) τῶν ζῴων[17]), ὁπόσα καλὰ καὶ μεγάλα καὶ ὠφέλιμα ὄντα[18]) πραέα ἐστὶ[19]) πρὸς τοὺς ἀνθρώπους. 69. Ὁ Νεῖλος πραεῖαν τὴν ῥύσιν ποιεῖται[20]). 70. Οἱ ποιμένες ἐπιμελοῦνται[21]), ὅπως σῶαι ἔσονται[22]) αἱ οἶς.

---

1) *fand* (es), aor. 2. v. *εὑρίσκω*. 2) s. IX, 48, 6. 3) part. perf. pass. v. *περισπειράω*, *umgeben*, *umwunden*; womit? dat. 4) im Deutschen mit *von*. 5) *wird*, v. *γίγνομαι*. 6) *sie wenden sich*, med. v. *τρέπω*. 7) part. praes. pass. v. *πληρόω*, *wenn gefüllt wird*. 8) *führt er herbei*, med. v. *ἐπάγω*. 9) *fanden statt*, aor. 2. v. *γίγνομαι*. 10) *es enthält*, v. *ἐμπεριέχω*. 11) wovon? 12) *sage*, imperat. v. *λέγω*. 13) part. praes. v. *εἰμί*, *derjenige*, *welcher* — *ist*. 14) *Ehrfurcht haben*, 3. pl. conj. v. *αἰδέομαι*. 15) *sich fürchten*, 3. pl. conj. v. *φοβέομαι*. 16) *wir nennen*, v. *καλέω*. 17) im Deutschen mit *von*. 18) part. praes. v. *εἰμί*, *(welche)* — *sind und zugleich*. 19) s. I. 25. 15. 20) *hat*, med. v. *ποιέω*, *mache*. 21) *sorgen dafür*, v. *ἐπιμελέομαι*. 22) *sind*, fut. v. *εἰμί*. Im Griechischen steht abweichend vom Deutschen nach *ἐπιμελεῖσθαι*, *ὅπως* u. ähnl. Ausdrücken der indic. futuri.

X.

Comparation.

1. Οὐδὲν πικρότερόν ἐστι τῆς ἀνάγκης[1]). **2.** Πόλεμος ἔνδοξος εἰρήνης αἰσχρᾶς αἱρετώτερος. **3.** Χάλαζα ἐν ταῖς εὐδιεινοτέραις συμβαίνει[2]) χώραις ἢ ὥραις, θέρους[3]) μάλιστα καὶ μετοπώρου[3]). **4.** Ἀναγκαιότατον μάθημά ἐστι τὸ ἀπομαθεῖν[4]) τὰ κακά. **5.** Ἀγησίλαος τῶν φίλων[5]) οὐ τοὺς δυνατωτάτους, ἀλλὰ τοὺς προθυμοτάτους μάλιστα ἠσπάζετο[6]). **6.** Ἀγησίλαος πρᾳότατος φίλοις ὢν[7]) ἐχθροῖς φοβερώτατος ἦν. **7.** Τῶν σωμάτων θηλυνομένων[8]) καὶ αἱ ψυχαὶ πολὺ ἀρρωστότεραι γίγνονται[9]). **8.** Οὐκ ἔστιν ἀρετῆς[1]) κτῆμα τιμιώτερον. **9.** Διογένης ἐρωτηθείς, τί τῶν[10]) κατὰ τὸν βίον ἀκρότατον, εἶπεν, Ἐλπίς. **10.** Ἀρετῆς οὐδὲν χρῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστιν. **11.** Σπάρτη πασῶν τῶν Ἑλληνικῶν πόλεων εὐνομωτάτη ἦν. **12.** Ἡ πενία καὶ πρὸς τὰς τέχνας δεινοτέρους καὶ πρὸς τὸν βίον τεχνικωτέρους τοὺς ἀνθρώπους καθίστησιν[11]). **13.** Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου[12]) μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος. **14.** Σύμβουλος ἀγαθὸς χρησιμώτατον ἁπάντων κτημάτων. **15.** Βέλεσυς ἐπισημότατος ἦν τῶν ἱερέων, οὓς Βαβυλώνιοι ἐκάλουν[13]) Χαλδαίους. **16.** Χαλδαῖοι

---

1) s. I, 10, 11. 2) *tritt ein*, v. συμβαίνω. 3) gen. auf die Frage wann? s. VIII, 44, 15. 4) *das Verlernen*, inf. aor. 2. ἀπομανθάνω. Der Grieche setzt zum inf., auch wenn er ihn mit dem Artikel verbindet, die Casus, welche das verbum regiert; im Deutschen steht der gen. 5) im Deutschen mit *von*. 6) *hielt in Ehren*, v. ἀσπάζομαι, bewillkommne. 7) part. praes. v. εἰμί, *welcher — war*. 8) gen. absol. part. praes. pass. v. θηλύνω, *wenn — verweichlicht werden*. 9) *werden*, 3. pl. v. γίγνομαι. 10) den gen. mit *von*; τὰ κ. τ. β. *die Dinge im Leben*. Statt der allgemeinen Ausdrücke: Dinge, Verhältnisse, Angelegenheiten u. ä. gebraucht der Grieche in solchen Verbindungen nur das neutr. pl. des Artikels. 11) *macht*, v. καθίστημι. 12) *gehe ab*, imperat. v. ἀπαλλάττομαι. 13) *nannten*, v. καλέω.

τῶν ἀρχαιοτάτων ἦσαν[1]) Βαβυλωνίων. **17.** Ἐν τῇ Ἀττικῇ αἱ ὧραι πρᾳόταται ἦσαν, καὶ τὰ τῶν ὡρῶν ἀγαθὰ πρωιαίτατα μὲν ἤρχετο[2]), ὀψιαίτατα δὲ ἔληγεν[3]). **18.** Ψυχὴ ψυχῆς[4]) ἐρρωμενεστέρα πρὸς τὰ δεινά ἐστι φύσει. **19.** Οἱ χαίροντες[5]) λαλίστατοί εἰσιν. **20.** Νέος ὢν[6]) ἀκούειν[7]) τῶν γεραιτέρων θέλε[8]). **21.** Ἔργα μὲν τῶν νεωτέρων, βουλαὶ δὲ τῶν γεραιτέρων κράτος ἔχουσιν[9]). **22.** Μίνως παλαίτατος ὧν[10]) ἀκοῇ ἴσμεν[11]) ναυτικὸν ἐκτήσατο[12]). **23.** Ναυμαχία παλαιτάτη ἐγένετο[13]) Κορινθίων πρὸς Κερκυραίους. **24.** Ἐγὼ νομίζω πατρὶ φίλτατον τέκνον, παισίν τε τοὺς τεκόντας. **25.** Περὶ μεγάλων πραγμάτων σκοπουμένῃ[14]) εὐνουστάτη σύμβουλος ἡ παρρησία.

26. Διογένης ἐρωτηθείς, τί ἡ γῆ βαστάζει[15]) βαρύτερον[16]), ἔφη, Ἄνθρωπον ἀπαίδευτον. **27.** Κίρκοι μὲν ὀξύτατοι, κύνες δ' ὀσφρητικώτατοι. **28.** Ἀετὸς ὀξύτατός ἐστι πάντων τῶν πτηνῶν. **29.** Τῶν Ἀραβίων λίθων λαμπροτάτη μὲν ἡ λευκότης, βαρύτατος δὲ ὁ σταθμός. **30.** Οἱ Αἰθίοπες μελάντεροί εἰσι τῶν ἄλλων ἀνθρώπων[4]). **31.** Τὰ ἱερὰ τῶν θεῶν ἐν τοῖς ἐπιφανεστάτοις ἱδρύετο[17]) τόποις. **32.** Θαλῆς ἔφησεν[18]), ὅτι σαφέστατος ἔλεγχος πραγμάτων ἁπάντων ἐστὶν ὁ χρόνος· οὗτος γὰρ τὴν ἀλή-

---

1) *stammten*, von wem? gen. 2) *begannen*, 3. sg. v. ἄρχομαι, s. I, 25, 15. 3) *hörten auf*, 3. sg. v. λήγω. 4) s. I, 10, 11 (*als die andere*). 5) part. praes. v. χαίρω, *diejenigen, welche sich freuen*. 6) part. praes. v. εἰμί, *da, so lange du bist*. 7) *hören*, inf. v. ἀκούω, auf wen? gen. 8) *wolle*, imperat. v. θέλω. 9) *haben*, 3. pl. v. ἔχω. 10) nach deutscher Auffassung statt τούτων, οὓς, *von denen, welche*. 11) *wir kennen*, v. οἶδα, wodurch? dat. 12) *schuf sich*, aor. med. v. κτάομαι. 13) *war* (ergänze: *die Seeschlacht*), aor. 2. v. γίγνομαι. 14) *wenn sie mit Ernst nachzudenken hat*, part. praes. med. v. σκοπέω. 15) *trage*, 3. sg. ind. v. βαστάζω, s. VIII, 24, 20. 16) den comparat. im Deutschen durch den posit. mit *zu*. 17) *wurden errichtet*, 3. sg. v. ἱδρύω, s. I, 25, 15. 18) *behauptete*, aor. v. φημί.

θειαν ἐμφανίζει[1]). **33.** *Οὐχ οἱ πλατεῖς, οὐδὲ οἱ εὐρύνωτοι φῶτες ἀσφαλέστατοι.* **34.** *Πλοῦτος ἀσθενὴς ἄγκυρα, δόξα δὲ ἔτι ἀσθενεστέρα.* **35.** *Σεμίραμις ἐπιφανεστάτη ἦν ἁπασῶν τῶν κατ' αὐτὴν*[2]) *γυναικῶν.* **36.** *Κόνων ἐπιμελέστατος ἦν στρατηγός.* **37.** *Πολλοὶ ἐκ πλουσιωτάτων πενέστατοι ἐγένοντο*[3]). **38.** *Κριτίας τῶν τριάκοντα πλεονεκτίστατός τε καὶ βιαιότατος ἦν.* **39.** *Ἀλκιβιάδης ἀκρατέστατος καὶ ὑβριστότατος ἐγένετο*[4]). **40.** *Εὐδαιμονέστεροί εἰσιν οἱ κόσμιοι τῶν ἀκολάστων*[5]). **41.** *Ἡ Βακτριανὴ χώρα εὐδαιμονεστάτη ἦν καὶ εὐφορωτάτη.*

42. *Οὐδείς ποτε ἄνθρωπος οὔτε κτῆμά τι ἀγροῦ ἥδιον κέκτηται*[6]), *οὔτε ἐπιμέλειαν ἡδίω τινὰ γεωργίας εὕρηκεν*[7]). **43.** *Οἱ ἔπαινοι παρὰ τῶν ἐλευθερωτάτων ἥδιστοί εἰσιν.* **44.** *Αἴσχιστόν ἐστι, τὸν ὑπὲρ τῆς πατρίδος θάνατον ἀποφυγεῖν*[8]). **45.** *Οὐδέν ἐστιν ἔχθιον βουλῆς κακῆς.* **46.** *Πόνοις καὶ τάχει οἱ ὀλίγοι τῶν πολλῶν πολὺ μᾶλλον ἢ οἱ πολλοὶ τῶν ὀλίγων περιγίγνονται*[9]). **47.** *Τῶν ἡδέων τὰ σπανιώτατα*[10]) *γιγνόμενα*[11]) *μάλιστα τέρπει*[12]). **48.** *Διογένης ἐρωτηθείς, τί μάλιστα γηράσκει*[13]) *παρ' ἀνθρώποις, εἶπε, Χάρις.* **49.** *Ἡ γεωργία πολίτας ἀρίστους καὶ εὐνουστάτους παρέχεσθαι*[15]) *δοκεῖ*[14]) *τῷ κοινῷ.* **50.** *Πόλις, ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται*[16]), *ἐν εἰρήνῃ τε ἄριστα*[10]) *διάγει*[17]) *καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν.*

---

1) *bringt ans Licht*, v. *ἐμφανίζω*. 2) s. VI, 26, 23. *κατά*, *zur Zeit*. 3) *wurden*, aor. 2. v. *γίγνομαι*. 4) s. X, 23, 13. 5) s. I, 10, 11. 6) *hat zu eigen gewonnen*, perf. v. *κτάομαι*. 7) *hat gefunden*, perf. v. *εὑρίσκω*. 8) *zu fliehen*, aor. 2. v. *ἀποφεύγω*. 9) *gewinnen die Oberhand*, v. *περιγίγνομαι*, über wen? gen. 10) Als Adverbium des Superlativs dient das neutr. pl.; als Adverbium des Comparativs das neutr. sg. 11) part. praes. v. *γίγνομαι*, *das, was geschieht*; s. II, 20, 2. 12) *ergötzt*, v. *τέρπω*, s. I, 25, 15. 13) *altere*, ind. v. *γηράσκω*, s. VIII, 24, 20. 14) *scheint*, v. *δοκέω*. 15) *zu verschaffen*, v. *παρέχομαι*. 16) *gehorchen*, 3. pl. v. *πείθομαι*. 17) *besteht*, v. *διάγω*, dego.

51. Ἅπασα φύσις *βελτίων* γίγνεται[1]) παιδείαν προςλαβοῦσα[2]) τὴν προςήκουσαν. **52.** Ἡ ἀρετὴ ἕξις ἡ *βελτίστη* ψυχῆς. **53.** Πολὺ *κρεῖττον* ἐν δόξαις τελευτῆσαι[3]) τὸν βίον μᾶλλον ἢ ζῆν[4]) ἐν ἀτιμίαις. **54.** Οἱ φύσει ἀσθενέστεροι μελετῶντες[5]) *κρείττους* γίγνονται[6]). **55.** *Κράτιστοι* τῶν νόμων εἰσὶν οὐκ[7]) ἐξ ὧν εὐπορώτατοι, ἀλλ'[7]) ἐξ ὧν ἐπιεικέστατοι καὶ πολιτικώτατοι γίγνονται[6]) οἱ ἄνθρωποι. **56.** Ἀναρχίας[8]) οὐδὲν *κάκιον* ἀνθρώποις[9]). **57.** Ἐν ἀγνοίᾳ τῶν *κρειττόνων*[10]) ἀνάγκη δουλεύειν[11]) τοῖς *χείροσιν*[10]). **58.** Ἐλπίδων ἀγαθῶν οὐδὲν *ἧττον* οἱ δοῦλοι τῶν ἐλευθέρων[8]) δέονται[12]), ἀλλὰ καὶ *μᾶλλον*, ὅπως μένειν[13]) ἐθέλωσιν[14]). **59.** Οἷς[15]) *μάλιστα* τὰ παρόντα[10]) ἀρκεῖ[16]), *ἥκιστα* τῶν ἀλλοτρίων[10]) ὀρέγονται[17]). **60.** Ἀγησίλαος τοὺς διαβόλους *μᾶλλον* ἢ τοὺς κλέπτας ἐμίσει[18]), *μείζω* ζημίαν ἡγούμενος[19]) φίλων ἢ χρημάτων στερίσκεσθαι[20]). **61.** Τὸ κροκοδείλου ᾠὸν οὐ *μεῖζόν* ἐστι χηνείου[21]). **62.** Εὐδαιμονία ἐστὶ τὸ *ἄριστον* ἐν τῷ βίῳ, ἢ τὸ *μέγιστον* τῶν ἀγαθῶν, ἢ τὸ *κράτιστον*. **63.** Σωκράτης ἔφη *μεγίστην* μὲν ἀρχὴν[22]) εἶναι[22]) τὴν βασιλείαν, *ἀρίστην* δὲ τὸ ἑαυτοῦ ἄρχειν[23]). **64.** *Μεγίστη* ἐστὶ συμμαχία καὶ βεβαιοτάτη τὸ τὰ δίκαια πράττειν[24]). **65.** Ὅσῳπερ[25]) ἂν ᾖ[26]) συνετώ-

---

1) *wird*, v. γίγνομαι. 2) part. aor. 2. v. προςλαμβάνω, *wenn sie* (dazu) *erhält*. 3) *enden*, inf. aor. v. τελευτάω. 4) *leben*, inf. v. ζάω. 5) part. praes. v. μελετάω, *indem sie sich üben*, *durch Uebung*. 6) *werden*, 3. pl. v. γίγνομαι. 7) ergänze: *diejenigen*. 8) s. I, 10, 11. 9) für wen? 10) s. II, 20, 2. 11) *dienen*, inf. v. δουλεύω. 12) *bedürfen*, 3. pl. v. δέομαι. 13) *bleiben*, inf. v. μένω. 14) (damit) *sie wollen*, conj. v. ἐθέλω. 15) Im Deutschen ist vor das Relativum *diejenigen* zu setzen. 16) *genügt*, v. ἀρκέω, s. I, 25, 15. 17) *streben*, 3. pl. v. ὀρέγομαι, wornach? gen. 18) *hasste*, v. μισέω. 19) part. praes. v. ἡγέομαι, *indem er es hielt*, wofür? acc. 20) *beraubt zu werden*, v. στερίσκω. 21) ergänze ᾠοῦ, *als das Ei*. 22) acc. c. inf. 23) inf. v. ἄρχω, das Herrschen, *die Herrschaft*; worüber? gen. 24) inf. v. πράττω, das Thun, *zu thun*; s. X, 4, 4. 25) *je*. 26) *ist*, conj. v. εἰμί, s. ἄν, 2.

τερος ὁ ἀκουστής, τοσούτῳ[1]) μειόνων δεήσεται[2]) τῶν ἀποδείξεων, καὶ τοσούτῳ[1]) θᾶττον συναινέσει[3]) τῷ κεφαλαίῳ τοῦ λόγου. **66.** Ἡ τελευταία χάρις, καιρὸν ἔχουσα[4]), κἂν[5]) ἐλάσσων ᾖ[6]), δύναται[7]) μεῖζον ἔγκλημα λῦσαι[8]). **67.** Μέγιστον ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. **68.** Τὸ ὕδωρ πλείστου ἄξιόν ἐστι· μιγνύμενον[9]) γὰρ πᾶσι τοῖς τρέφουσιν[10]) ἡμᾶς[11]) εὐκατεργαστότερά τε καὶ ὠφελιμώτερα καὶ ἡδίω ποιεῖ[12]). **69.** Ἡ Ἰνδικὴ χώρα πλείστους καὶ μεγίστους ἐλέφαντας ἐκτρέφει[13]), ὧν[14]) ζῶσιν[15]) οἱ πλεῖστοι καθάπερ ὁ μακροβιώτατος ἄνθρωπος, οἱ δὲ μάλιστα γηράσαντες[16]) ἔτη[17]) διακόσια. **70.** Κρεῖττον[18]) πρὸς εὐδαιμονίαν ἐλάττω κεκτῆσθαι[19]) ἢ πολλὰ μετὰ φθόνου· καὶ γὰρ καλλίων καὶ ἡδίων οὗτος ὁ βίος. **71.** Ἐν τῇ κρατίστῃ πόλει ὑπὸ τῶν ἀρίστων τοῦ καλλίστου γέρως ἐκρίθη[20]) Ἀγησίλαος. **72.** Κάλλιστος στέφανός ἐστιν ὁ ἀπὸ παιδείας. **73.** Θάλεω ἀποφθέγματά ἐστι[21]) τάδε· πρεσβύτατον τῶν ὄντων[22]) θεός· ἀγέννητος γάρ. κάλλιστον κόσμος· ποίημα γὰρ[23]) θεοῦ. μέγιστον τόπος· ἅπαντα γὰρ χωρεῖ[24]). τάχιστον νοῦς· διὰ παντὸς γὰρ τρέχει[25]). ἰσχυρότατον ἀνάγκη· κρατεῖ[26]) γὰρ πάντων. σοφώτατον χρόνος· ἀνευρίσκει[27]) γὰρ πάντα. **74.** Πλείω τε ἕκαστα[28]) γίγνε-

---

1) *desto.* 2) *wird er bedürfen*, v. δέομαι. 3) *wird er beistimmen*, v. συναινέω. 4) part. praes. v. ἔχω, *welche — hat, trifft.* 5) Krasis v. καὶ ἄν. 6) *ist*, conj. v. εἰμί, s. ἄν, 1. 7) *kann*, v. δύναμαι. 8) *vergessen machen*, inf. aor. v. λύω, *löse.* 9) part. praes. v. μίγνυμι, *beigemischt.* 10) neutr. pl. part. praes. v. τρέφω, *das, was ernährt*; s. II, 20, 2. 11) acc. pl. v. ἐγώ. 12) *macht*, v. ποιέω. 13) *ernährt, hat*, v. ἐκτρέφω. 14) d. gen. durch *von.* 15) *leben*, 3. pl. v. ζάω. 16) part. aor. v. γηράω, *diejenigen, welche alt werden.* 17) acc. auf die Frage wie lange? 18) ergänze: *ist es.* 19) *zu besitzen*, inf. perf. v. κτάομαι, erwerbe. 20) *wurde für würdig erklärt*, aor. v. κρίνω, beurtheile. 21) *sind*, s. I, 25, 15. 22) τὰ ὄντα, part. praes. v. εἰμί, *das, was existirt.* 23) ergänze: *sie ist.* 24) *er fasst, nimmt auf*, v. χωρέω. 25) *er läuft*, v. τρέχω. 26) *sie bezwingt*, v. κρατέω, wen? gen. 27) *sie erfindet*, v. ἀνευρίσκω. 28) s. II, 20, 2.

ται[1]) καὶ ῥᾴονα καὶ καλλίονα, ὅταν τις ἓν[2]) κατὰ φύσιν καὶ ἐν καιρῷ, σχολὴν τῶν ἄλλων[3]) ἄγων[4]), πράττῃ[5]). **75.** Τῆς πρὸς ἀνατολὰς κεκλιμένης[7]) γῆς[6]) πιοτέρας οὔσης[6]) εὐγενέστερα καὶ μείονα φύεται[8]) ζῷα. **76.** Παρ' Αἰγυπτίοις τῶν ταφῶν τρεῖς ὑπῆρχον[9]) τάξεις, ἥ τε πολυτελεστάτη καὶ μέση καὶ ταπεινοτάτη· κατὰ μὲν οὖν τὴν πρώτην ἀνάλουν[10]) ἀργυρίου τάλαντον, κατὰ δὲ τὴν δευτέραν μνᾶς εἴκοσι, κατὰ δὲ τὴν ἐσχάτην παντελῶς ὀλίγον τι δαπάνημα. **77.** Θαλῆς πρῶτος τὴν ὑστάτην ἡμέραν τοῦ μηνὸς τριακάδα[11]) εἶπεν. **78.** Οὐδεὶς ἂν[12]) ἡμᾶς[13]) λέγων[14]) πείσειεν[12]), ὅπως χρὴ τοῦ δικαίου[15]) ποιεῖσθαί[16]) τι προὐργιαίτερον.

XI.

Zahlwörter.

1. Μία χελιδὼν ἔαρ οὐ ποιεῖ[17]), οὐδὲ μία χειρὸς ἔκτασις ὄρχησιν. **2.** Ἀγαθῷ οὐδεὶς[18]) περὶ οὐδενὸς[18]) οὐδέποτε ἐγγίγνεται[19]) φθόνος. **3.** Ἡ κολακεία τέρψιν μὲν ἔχει[20]), χρείαν δ' οὐδεμίαν παρέχεται[21]). **4.** Διογένης ἐρωτηθείς, τί ἐστι φίλος, Μία, εἶπε, ψυχὴ ἐν δύο σώμασι κειμένη[22]).

---

1) *wird*, v. γίγνομαι, s. I, 25, 15. 2) v. εἷς. 3) neutr. pl.; d. gen. durch *von*. 4) part. praes. v. ἄγω, *indem er hat*. 5) *thut*, conj. v. πράττω, im Deutschen nach ἕν zu stellen. 6) gen. absol. *da — ist*, part. praes. v. εἰμί. 7) part. perf. pass. v. κλίνω, *geneigt*, *liegend*. 8) *giebt es; wachsen heran*, 3. sg. pass. v. φύω, erzeuge; s. Anm. 1. 9) *gab es*, *waren vorhanden*, v. ὑπάρχω. 10) *wendete man auf*, 3. pl. v. ἀναλίσκω. 11) Er zählte die Tage des Monats ohne Abtheilungen zu machen von 1 bis 30. Die Griechen hatten ähnliche Abtheilungen wie die Römer. 12) *kann wohl überreden*, opt. aor. v. πείθω. 13) s. X, 68, 11. 14) part. praes. v. λέγω, indem er redet, *durch Worte*. 15) s. I, 10, 11. 16) *halten*, inf. v. ποιέομαι, wofür? acc. 17) *macht*, v. ποιέω. 18) s. VIII, 30, 13. *ein*, *etwas*. 19) *entsteht*, *kommt*, v. ἐγγίγνομαι. 20) *hat*, *ruft hervor*, v. ἔχω. 21) *bringt*, med. v. παρέχω. 22) part. v. κεῖμαι, *welche liegt*, *wohnt*.

5. Ἀρριανός φησι[1]) τὰς νεφέλας[2]) εἰς τὸ ἄνω οὐχ ὑπὲρ εἴκοσιν γε ἀπὸ γῆς σταδίους ἀναφέρεσθαι[2]). 6. Οἱ Ἀθηναῖοι ἐδαπάνησαν[3]) εἰς τὸ ἱππικὸν ἐγγὺς τεσσαράκοντα τάλαντα τοῦ ἐνιαυτοῦ[4]). 7. Ζήνων ὁ Κιτιεὺς ἀφηγήσατο[5]) τῆς σχολῆς ἔτη[6]) δυοῖν δέοντα ἑξήκοντα. 8. Ἀπέχει[7]) ἡ Πλάταια τῶν Θηβῶν σταδίους[8]) ἑβδομήκοντα. 9. Βριάρεως, Γύης, Κόττος χεῖρας μὲν εἰς ἑκατόν, κεφαλὰς δὲ εἰς πεντήκοντα εἶχον[9]). 10. Σωκράτης κατεδικάσθη[10]) διακοσίαις ὀγδοήκοντα μιᾷ πλείοσι[11]) ψήφοις τῶν ἀπολυουσῶν[12]). 11. Ἐπιμενίδης ἐτελεύτησε[13]) βιοὺς[14]) ἔτη ἑπτὰ καὶ πεντήκοντα καὶ ἑκατόν, ὡς δὲ Κρῆτες λέγουσιν[15]), ἑνὸς δέοντα τριακόσια. 12. Ὅμηρος πεποίηκε[16]) χιλίων καὶ διακοσίων νεῶν[17]) τὰς μὲν Βοιωτῶν εἴκοσι καὶ ἑκατὸν ἀνδρῶν[18]), τὰς δὲ Φιλοκτήτου πεντήκοντα, δηλῶν[19]) τὰς μεγίστας καὶ ἐλαχίστας. 13. Τὸ τῆς Νίνου τεῖχος τὸ[20]) μὲν ὕψος εἶχε[21]) ποδῶν ἑκατόν, τὸ δὲ πλάτος τρισὶν ἅρμασιν[22]) ἱππάσιμον ἦν· οἱ δὲ σύμπαντες πύργοι τὸν μὲν ἀριθμὸν[23]) ἦσαν χίλιοι καὶ πεντακόσιοι, τὸ[20]) δ' ὕψος εἶχον[9]) ποδῶν διακοσίων. 14. Οἱ ἱερεῖς τῶν Αἰγυπτίων τὸν χρόνον ἀπὸ τῆς Ἡλίου βασιλείας συλλογισάμενοι[24]) μέχρι τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν, ἔφα-

---

1) *sagt*, v. φημί. 2) acc. c. inf. *dass emporgehen*, inf. praes. pass. v. ἀναφέρω, trage empor. 3) *verwendeten*, aor. v. δαπανάω. 4) auch im Deutschen der gen. 5) *stand vor*, aor. v. ἀφηγέομαι, wem? gen. 6) acc. auf die Frage wie lange? 7) *ist entfernt*, v. ἀπέχω. 8) acc. auf die Frage wie weit? 9) *hatten*, v. ἔχω. 10) *wurde verurtheilt*, aor. v. καταδικάζω, wodurch? dat. 11) das deutsche *mehr* steht nach dem Substantiv. 12) gen. comparat. v. part. praes. v. ἀπολύω, *als* (diejenigen, welche) *ihn freisprachen*. 13) *starb*, aor. v. τελευτάω. 14) part. aor. 2. v. βιόω, *nachdem er gelebt hatte, in einem Alter von*. 15) *sagen*, 3. pl. v. λέγω. 16) *giebt an*, perf. v. ποιέω, mache, dichte. 17) den gen. durch *von*. 18) den gen. durch *als Schiffe mit*. 19) part. praes. v. δηλόω, *und nennt damit*. 20) im Deutschen den unbestimmten Artikel. 21) *hatte*, v. ἔχω. 22) den dat. durch *für*, *mit*. 23) den acc. durch *an*. 24) part. aor. med. v. συλλογίζω, *hatten berechnet und*.

σαν[1]) ὑπάρχειν[2]) ἐτῶν μάλιστά πως δισμυρίων καὶ τρισχιλίων. ἐμυθολόγουν[3]) δὲ καὶ τῶν θεῶν[4]) τοὺς μὲν ἀρχαιοτάτους[5]) βασιλεῦσαι[5]) πλείω τῶν χιλίων καὶ διακοσίων ἐτῶν, τοὺς δὲ μεταγενεστέρους οὐκ ἐλάττω τῶν τριακοσίων. 15. Αἰγύπτιοι ἔλεγον[6]) Νείλου γενέσθαι[7]) παῖδα Ἥφαιστον[7])· ἀπὸ δέ τούτου εἰς Ἀλέξανδρον τὸν Μακεδόνα ἐτῶν[8]) εἶναι[9]) μυριάδας[9]) τέσσαρας καὶ ὀκτακισχίλια ὀκτακόσια ἑξήκοντα τρία· ἐν οἷς[10]) ἡλίου μὲν ἐκλείψεις[10]) γενέσθαι[10]) τριακοσίας ἑβδομήκοντα τρεῖς, σελήνης δὲ ὀκτακοσίας τριάκοντα δύο. 16. Διονύσιος ἐκ μιᾶς τῆς τῶν Συρακουσίων πόλεως ἐξήγαγεν[11]) ἐπὶ τὰς στρατείας πεζῶν[8]) μὲν δώδεκα μυριάδας, ἱππεῖς δὲ μυρίους καὶ δισχιλίους, ναῦς δὲ μακρὰς ἐξ ἑνὸς λιμένος τετρακοσίας, ὧν[12]) ἦσαν ἔνιαι τετρήρεις καὶ πεντήρεις.

17. Πλάτων εἶπε τὴν παιδείαν[13]) τοῖς ἀνθρώποις δεύτερον ἥλιον εἶναι[13]). 18. Ῥώμη ἐκτίσθη[14]) ἔτει[15]) τρίτῳ τῆς ἕκτης ὀλυμπιάδος. 19. Ἐτολμήθη[16]) ἡ τῶν θυγατέρων τῶν Σαβίνων ἁρπαγὴ περὶ τὴν ὀκτωκαιδεκάτην ἡμέραν τοῦ Σεξτιλίου μηνός. 20. Λέγεται[17]) Ῥωμύλος τέσσαρα μὲν ἔτη καὶ πεντήκοντα γεγονώς[18]), ὄγδοον δὲ βασιλεύων[19]) καὶ τριακοστόν, ἐξ ἀνθρώπων ἀφανισθῆναι[20]). 21. Σόλων

---

1) *sagten*, v. *φημί*. 2) sc. τὸν χρόνον, acc. c. inf. *dass es eine Zeit sei von*, *dass sie betrage*. 3) *sie erzählten*, v. *μυθολογέω*. 4) den gen. durch *von*. 5) acc. c. inf. *dass — regierten*, inf. aor. v. *βασιλεύω*. 6) *sagten*, v. *λέγω*. 7) acc. c. inf. *dass gewesen sei*, inf. aor. v. *γίγνομαι*. 8) abhängig v. *μυριάδας*, im Deutschen den nom. 9) acc. c. inf. *seien*. 10) acc. c. inf. *und es hätten in diesen stattgefunden*. 11) *führte*, aor. 2. v. *ἐξάγω*. 12) den gen. durch *von*. 13) acc. c. inf. 14) *wurde gegründet*, aor. v. *κτίζω*. 15) den dat. durch *in*. 16) *es wurde gewagt*, aor. v. *τολμάω*. 17) *es soll*, dicitur, v. *λέγω*. 18) part. perf. 2. v. *γίγνομαι*, *geworden*, *alt*, natus. 19) part. praes. v. *βασιλεύω*, *während er regierte*; welches Jahr hindurch? in welchem Jahre? acc. 20) *verschwunden sein*, inf. aor. pass. v. *ἀφανίζω*.

ἤκμαζε[1]) περὶ τὴν τεσσαρακοστὴν ἕκτην ὀλυμπιάδα, ἧς τῷ τρίτῳ ἔτει ἦρξεν[2]) Ἀθήνησιν. 22. Βοιωτοὶ ἑξηκοστῷ ἔτει μετὰ Ἰλίου ἅλωσιν τὴν Βοιωτίαν γῆν καλουμένην[3]) ᾤκισαν[4]), Δωριεῖς τε ὀγδοηκοστῷ ἔτει σὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον[5]). 23. Θαλῆς πρῶτος τοῦ ἡλίου μεγέθους[6]) τὸ[7]) τῆς σελήνης ἑπτακοσιοστὸν καὶ εἰκοστὸν μέρος ἀποφήνασθαι[8]) λέγεται[9]).

24. Ἀθῆναι τρὶς τοὺς Ἕλληνας ἠλευθέρωσαν[10]), δὶς μὲν ἀπὸ τῶν βαρβάρων, ἅπαξ δ' ἀπὸ τῆς Λακεδαιμονίων ἀρχῆς. 25. Ἀρχύτας Ταραντῖνος ἐθαυμάζετο[11]) ἐπὶ πάσῃ ἀρετῇ· καὶ δὴ ἑπτάκις τῶν πολιτῶν ἐστρατήγησεν[12]). 26. Ἡ ὀγδοὰς κύβος ἀπ' ἀρτίου πρῶτός ἐστι καὶ τοῦ πρώτου τετραγώνου διπλασία. 27. Μεσότης ἀριθμητικὴ μονάδος καὶ ἑβδομάδος ἐστὶν ἡ τετράς· τριάδι γὰρ ὑπερέχει[13]) καὶ ὑπερέχεται[14]). 28. Οἱ Λακεδαιμόνιοι τῆς Πελοποννήσου τῶν πέντε τὰ δύο μοίρας ἐνέμοντο[15]), τῆς τε συμπάσης ἡγοῦντο[16]).

---

1) *blühte, stand im höchsten Ansehn*, v. ἀκμάζω. 2) *er war Archon*, aor. v. ἄρχω. 3) part. praes. pass. v. καλέω, *genannt*. 4) *machten zum Wohnsitz*, aor. v. οἰκίζω. 5) *erhielten*, aor. 2. v. ἔχω. 6) abhängig von μέρος. 7) sc. μέγεθος. 8) *angegeben haben*, inf. aor. med. v. ἀποφαίνω, als was? acc. 9) s. XI, 20, 17. In der That ist schon, wenn man beide als Scheiben betrachtet, die Sonne mehr als 160000 mal größer als der Mond; dem Cubikinhalt nach aber ist die Sonne mehr als 69 Millionen mal größer als der Mond. 10) *befreiten*, aor. v. ἐλευθερόω. 11) *wurde bewundert*, v. θαυμάζω. 12) *hatte den Oberbefehl*, aor. v. στρατηγέω, über wen? gen. 13) *übertrifft, ist grösser*, v. ὑπερέχω, um wie viel? dat. 14) *wird übertroffen, ist kleiner*. 15) *bewohnten*, v. νέμομαι. 16) *standen an der Spitze*, v. ἡγέομαι.

XII.

Pronomina.

1. *Μή μοι ἀνὴρ εἴη*[1]) *γλώσσῃ*[2]) *φίλος, ἀλλὰ καὶ ἔργῳ*[2]). **2.** *Σωκράτης*[3]) *Αἰσχίνου εἰπόντος*[4]), *Πένης εἰμὶ καὶ ἄλλο μὲν οὐδὲν ἔχω, δίδωμι δέ σοι ἐμαυτόν, Ἆρ' οὖν, εἶπεν, οὐκ αἰσθάνῃ*[5]) *τὰ μέγιστά μοι διδούς*[6]); **3.** *Ἄρχε*[7]) *σεαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων.* **4.** *Οὐκ ἄλλη ἐπικαρπία τῆς ἀρετῆς ἐστιν ἢ αὐτὴ ἑαυτῆς*[8]). **5.** *Ὁ σοφὸς ἐν αὑτῷ περιφέρει*[9]) *τὴν οὐσίαν.* **6.** *Ὁ ἑαυτὸν αἰσχυνόμενος*[10]) *φύλαξ ἑαυτοῦ γίγνεται*[11]), *μηδαμοῦ κακίᾳ περιπεσεῖν*[12]). **7.** *Τῶν πόνων πωλοῦσιν*[13]) *ἡμῖν πάντα τἀγάθ'*[14]) *οἱ θεοί.* **8.** *Φθείρει*[15]) *ἡμᾶς ἀδικία καὶ ὕβρις μετὰ ἀφροσύνης.* **9.** *Αἱ ἡδοναὶ οὐκ ἐκ σφῶν αὐτῶν ἐκπορεύονται*[16]), *ἀλλ' ἀκολουθοῦσιν*[17]) *αὐταῖς λῦπαι καὶ πόνοι.* **10.** *Διὰ παντὸς χρόνου τὴν ἀλήθειαν φαίνου*[18]) *προτιμῶν*[18]), *ὡς πιστοτέρους εἶναι*[19]) *τοὺς σοὺς λόγους*[19]) *ἢ τοὺς ἄλλων ὅρκους*[19]). **11.** *Διογένης πρὸς τὸν μυριζόμενον*[20]), *Βλέπε*[21]), *εἶπε, μὴ ἡ τῆς κεφαλῆς σου εὐωδία δυςωδίαν σου τῷ βίῳ παράσχῃ*[22]). **12.** *Τῷ ἡμετέρῳ βίῳ οὐκ ἀεὶ τὸ αὐτὸ σχῆμα διαμένει*[23]).

---

1) *möge sein*, opt. v. *εἰμί.* 2) den dat. durch *mit.* 3) dazu als Verbum *εἶπεν.* 4) gen. absol. *als Ae. sagte*, part. d. aor. 2. *εἶπον.* 5) *nimmst du wahr*, v. *αἰσθάνομαι.* 6) part. praes. v. *δίδωμι*, *dass du giebst.* Im Griech. steht nach *αἰσθάνομαι* der Satz, welcher im Deutschen mit *dass* angefügt wird, im Particip. 7) *befiehl*, v. *ἄρχω*, wem? gen. 8) den gen. durch *von.* 9) *trägt* (umher), v. *περιφέρω.* 10) part. praes. v. *αἰσχύνομαι*, *derjenige, welcher sich schämt;* vor wem? acc. 11) *wird*, v. *γίγνομαι.* 12) *zu verfallen*, inf. aor. 2. v. *περιπίπτω*, worein? dat. 13) *verkaufen*, 3. pl. v. *πωλέω*, um was? gen. 14) = *τὰ ἀγαθά.* 15) *es verdirbt*, v. *φθείρω.* 16) *gehen hervor*, v. *ἐκπορεύομαι.* 17) *es folgen*, v. *ἀκολουθέω.* 18) *erscheine als solcher, der vorzieht; zeige, dass du vorziehst*, imperat. med. v. *φαίνω*, part. praes. v. *προτιμάω.* 19) acc. c. inf. 20) *einem, der sich salbte*, med. v. *μυρίζω.* 21) *siehe zu*, v. *βλέπω.* 22) (daß nicht) *bringt*, conj. aor. 2. v. *παρέχω.* 23) *verbleibt*, v. *διαμένω.*

13. Οἱ ἀπολαύοντες[1]) τῶν ἡμετέρων ἀγαθῶν εὔνοι ἡμῖν γίγνονται[2]). **14.** Ὁ τῶν Ἀθηναίων δῆμος ἐμίσει[3]) τοὺς χρήστους· οὐ γὰρ ἐνόμιζον[4]) τὴν ἀρετὴν[5]) αὐτοῖς πρὸς τῷ σφετέρῳ ἀγαθῷ πεφυκέναι[5]), ἀλλ᾽ ἐπὶ τῷ κακῷ.

15. Ὁ τὴν δικαιοσύνην ἔχων[6]) ἐν τῇ ψυχῇ οὐ μόνον τοῖς ἄλλοις ὠφελιμός ἐστιν, ἀλλὰ πολλῷ μάλιστα αὐτὸς ἑαυτῷ. **16.** Δεῖ ἡμᾶς τὰς τῶν πονηρῶν συνουσίας φεύγειν[7]), ἵνα μὴ καὶ αὐτοὶ ἐκείνων τῆς κακίας κοινωνεῖν[8]) δόξωμεν[9]). **17.** Ὁ ἥλιος αὐτὸν οὐκ ἐπιτρέπει[10]) ὁρᾶν[11]), ἀλλ᾽, ἄν[12]) τις ἀναιδῶς αὐτὸν θεάσηται[13]), τὴν ὄψιν ἀφαιρεῖται[14]). **18.** Ἡ αὐτὴ μορφὴ παρὰ τὰς διαφορὰς τῶν κατόπτρων ἀλλοία θεωρεῖται[15]). **19.** Ταὐτὸν[16]) ἐξ ἀσθενοῦς ἀγκυρίου σκάφος ὁρμίζειν[17]) καὶ ἐκ φαύλης γνώμης ἐλπίδας. **20.** Θησεὺς κατὰ τὸν αὐτὸν χρόνον Ἡρακλεῖ[18]) ἐγένετο[19]). **21.** Οὐ τὴν αὐτὴν ἔχει[20]) διάνοιαν αἰτῶν[21]) εἷς ἕκαστος καὶ λαβών[22]).

22. Ἐὰν αὐτός τις ᾖ[23]) γεννάδας τὴν ψυχὴν[24]) καὶ μεγαλόψυχος, καὶ[25]) τοῦτον εὐγενῆ φασι[26])· καὶ τῆς γε εὐγενείας[27]) αὕτη κρατίστη. **23.** Μὴ φεῦγε[28]) διὰ τοὺς ἀσημάντους χρήσιμος εἶναι τοῖς ἀγαθοῖς· ἱκανοὶ γὰρ οὗτοι καὶ

---

1) part. praes. v. ἀπολαύω, *diejenigen, welche geniessen*, wovon? gen. 2) *werden*, 3. pl. v. γίγνομαι. 3) *hasste*, v. μισέω. 4) *glaubten*, v. νομίζω. 5) acc. c. inf. *dass — in der Welt sei*, inf. perf. act. v. φύω, *erzeuge*, für wen? dat. 6) part. praes. v. ἔχω, *derjenige, welcher — hat.* 7) *fliehen*, inf. v. φεύγω. 8) *Theil zu haben*, inf. v. κοινωνέω, woran? gen. 9) *wir scheinen*, conj. aor. v. δοκέω. 10) *gestattet, lässt*, v. ἐπιτρέπω. 11) *sehen*, inf. v. ὁράω. 12) s. ἄν, 1. 13) *ansieht*, conj. aor. v. θεάομαι. 14) *wird er beraubt*, v. ἀφαιρέω, wessen? acc. 15) *wird erblickt*, v. θεωρέω. 16) sc. ἐστίν. 17) *anzulegen*, v. ὁρμίζω, an was? ἐκ c. gen. 18) statt des dat. gebraucht der Deutsche *wie*. 19) *lebte*, aor. 2. v. γίγνομαι. 20) *hat*, v. ἔχω. 21) part. praes. v. αἰτέω, *wenn er bittet, bei der Bitte*. 22) part. aor. 2. v. λαμβάνω, *wenn er empfangen hat, nach dem Empfang*. 23) *ist*, conj. v. εἰμί. 24) worin? 25) *auch*. 26) *nennt man*, 3. pl. v. φημί. 27) den gen. durch *von*. 28) *vermeide*, imperat. v. φεύγω, fliehe.

τὰς ὑπὲρ ἐκείνων χάριτας ἀποδοῦναι[1]). 24. Τῆς γεωμετρίας καὶ τῆς ἄλλης τοιαύτης παιδείας ἀπείρως ἔχειν αἰσχρόν[2]). 25. Σωκράτης ἐρωτηθείς, τί εὐδαιμονία[3]), Ἡδονὴ ἀμεταμέλητος, ἔφη. 26. Ἡγοῦμαι[4]) σοφίας εἶναι[5]) μέρος[5]) οὐκ ἐλάχιστον, ὀρθῶς γιγνώσκειν[6]), οἷος ἕκαστος ἀνήρ. 27. Ἆγις ὁ βασιλεὺς ἔφη, τοὺς Λακεδαιμονίους[7]) μὴ ἐρωτᾶν[7]), ὁπόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσι πολέμιοι· καὶ ἐρωτῶντός[8]) τινος, Πόσοι εἰσὶ Λακεδαιμόνιοι; ἔφη, Ἱκανοὶ τοὺς κακοὺς ἀπερύκειν[9]). 28. Ἐπαμινώνδας ὁ Θηβαῖος ἰδὼν[10]) στρατόπεδον μέγα καὶ καλόν, στρατηγὸν οὐκ ἔχον[11]), Ἡλίκον, ἔφη, θηρίον καὶ κεφαλὴν οὐκ ἔχει[12]). 29. Σωκράτης ἐρωτηθείς, τίνων μάλιστα ὁ λόγος ἰσχύει[13]), Ὧν[14]) ἡ πρᾶξις, εἶπε, συνακολουθεῖ[15]) τῷ λόγῳ. 30. Ὧι ἱκανὸν οὐδέν, τούτῳ γε αἰσχρὸν οὐδέν. 31. Ἃ ποιεῖν[16]) αἰσχρόν[17]), ταῦτα νόμιζε[18]) μηδὲ λέγειν[19]) εἶναι καλόν.

32. Ὅστις λέγει[20]) μὲν εὖ, τὰ δ᾽ ἔργ᾽, ἐφ᾽ οἷς λέγει,
αἴσχρ᾽ ἐστὶν[21]) αὐτοῦ[22]), τοῦτον οὐκ αἰνῶ[23]) ποτε.

33. Ἡδονὴν φεῦγε[24]), ἥτις ὕστερον λύπην τίκτει[25]). 34. Τῶν πολιτειῶν[26]) αὗται πλεῖστον χρόνον διαμένουσιν[27]), αἵτινες ἂν[28]) ἄριστα τὸ πλῆθος θεραπεύωσιν[29]).

---

1) *abzustatten*, aor. 2. v. ἀποδίδωμι. 2) sc. ἐστίν. 3) sc. ἐστίν, s. VIII, 24, 20. 4) *ich glaube*, ἡγέομαι. 5) acc. c. inf. 6) *zu erkennen*, v. γιγνώσκω. 7) acc. c. inf. *dass fragen*, inf. praes. v. ἐρωτάω. 8) gen. absol. *als — fragte*, part. praes. v. ἐρωτάω. 9) *abzuwehren*, v. ἀπερύκω. 10) part. des aor. 2. εἶδον, *als — sah*. 11) neutr. des part. praes. v. ἔχω, *das — hatte*. 12) *hat; οὐκ* durch *kein*. 13) *Nachdruck hat*, v. ἰσχύω, bin stark. 14) im Deutschen vor das relat. noch das demonstr. *derjenigen*. 15) *folgt*, v. συνακολουθέω. 16) *zu thun*, v. ποιέω. 17) sc. ἐστί. 18) *von dem glaube, dass es*, v. νομίζω. 19) *zu sagen*, v. λέγω. 20) *spricht*, v. λέγω. 21) s. I, 25, 15. 22) abhängig v. ἔργα. 23) *lobe ich*, v. αἰνέω. 24) s. XII, 23, 28. 25) *erzeugt*, v. τίκτω. 26) den gen. durch *von*. 27) *bleiben, bestehen*, 3. pl. v. διαμένω. 28) s. ἄν, 2. 29) *versorgen*, 3. pl. v. θεραπεύω, bediene.

35. Ὅστις ὁμιλῶν[1]) ἥδεται[2]) κακοῖς ἀνήρ, τοιοῦτός ἐστιν, οἷςπερ ἥδεται ξυνών[3]). **36.** Πασῶν τῶν τεχνῶν[4]) οὔτε κτήσασθαι[5]) ἐργάτας ῥᾴδιον[6]), οἵους δεῖ[7]), οὔτε ἔμπειρον[8]) γενέσθαι[8]) αὐτῶν οἷόν τε. **37.** Ὁποῖοί τινες ἂν[9]) οἱ προστάται ὦσι[10]), τοιαῦται καὶ αἱ πολιτεῖαι γίγνονται[11]). **38.** Ὁποῖα ἂν[9]) τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ[12]), τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν[13]). **39.** Τοσοῦτον ἰσχυρότερόν ἐστιν ἡ ὁμόνοια, ὅσον εὐκαταγώνιστος ἡ στάσις. **40.** Ὅσοι τοῖς ἀπὸ τῆς φύσεως ἀγαθοῖς ἐπὶ τὰ χείρω χρῶνται[14]), τούτοις πολέμια τὰ εὐτυχήματά ἐστιν. **41.** Λυκοῦργος τοῖς Σπαρτιάταις, ὅσα ἐλευθερίαν ταῖς πόλεσι παρασκευάζει[15]), ταῦτα ἔταξε[16]) μόνα ἔργα αὐτῶν νομίζειν[17]).

42. Ὅταν τις πράγματος ὁτουοῦν ἀρχὴν ὀρθῶς ποιήσηται[18]), εἰκὸς καὶ τὴν τελευτὴν[19]) ὀρθῶς γίγνεσθαι[19]). **43.** Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν[20]). **44.** Σωκράτης πρὸς τὸν εἰπόντα[21]), Κακῶς ὁ δεῖνά σε λέγει[22]), Καλῶς γάρ, ἔφη, λέγειν[23]) οὐκ ἔμαθεν[24]). **45.** Τοῖς αὐτοῖς ἄν[26]) τις λόγοις χρώμενος[25]) τοὺς μὲν βλάψειεν[26]), τοὺς

---

1) *Umgang zu haben*, mit wem? dat., part. praes. v. ὁμιλέω. 2) *sich freut*, v. ἥδομαι. Bei ἥδομαι steht im Griech. das part., wo im Deutsch. der inf. steht; vgl. XII, 2, 6. 3) *zusammen zu sein*, part. praes. v. ξύνειμι, mit wem? dat. 4) den gen. durch *für*. 5) *sich zu verschaffen*, aor. v. κτάομαι. 6) sc. ἐστίν. 7) sc. κτήσασθαι. 8) s. II, 2, 2 u. 3. 9) s. ἄν, 2. 10) *sind*, conj. v. εἰμί. 11) *werden*, 3. pl. v. γίγνομαι. 12) *sind*, 3. sg. conj. v. εἰμί, s. I, 25, 15. 13) (müssen sie) *haben*, inf. v. ἔχω. 14) *gebrauchen*, *benützen*, 3. pl. v. χράομαι. was? dat. 15) *verschafft*, v. παρασκευάζω. 16) *trug auf*, aor. v. τάσσω, im Deutschen gleich nach Λυκ. zu setzen. 17) *anzusehn*, v. νομίζω, als was? acc. 18) *macht*, conj. aor. med. v. ποιέω. 19) acc. c. inf. *dass — werde*. 20) *lernen*, inf. v. μανθάνω. 21) part. des aor. 2. εἶπον, *zu einem*, *der sagte*. 22) *redet*, 3. sg. v. λέγω, von wem? acc. 23) *zu reden*, inf. v. λέγω. 24) *er hat gelernt*, aor. 2. v. μανθάνω. 25) *Gebrauch machend*, part. v. χράομαι, wovon? dat.; im Deutschen blos durch die Präp. *mit*. 26) *kann schaden*, opt. aor. v. βλάπτω, wem? acc.

δ' ὠφελήσειεν[1]). **46.** *Πυθαγόρας ἐρωτηθείς, τί ἐστι φίλος, ἀπεκρίνατο*[2]). *Ἄλλος ἐγώ.* **47.** *Ἡ ἄγαν ἐλευθερία ἔοικεν*[3]) *οὐκ εἰς ἄλλο τι ἢ εἰς ἄγαν δουλείαν μεταβάλλειν*[4]) *καὶ ἰδιώτῃ*[5]) *καὶ πόλει*[5]). **48.** *Θαλῆς ἐρωτηθείς, τί κοινότατον, ἀπεκρίνατο*[2]); *Ἐλπίς· καὶ γὰρ οἷς*[6]) *ἄλλο μηδέν*[7]), *αὕτη πάρεστιν*[8]). **49.** *Ὁ καθ' ἑτέρου μηχανώμενος*[9]) *καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει*[10]). **50.** *Τῆς Νίνου ἑτερόμηκες ἦν τὸ σχῆμα· εἶχε*[11]) *δὲ τῶν μὲν μακροτέρων πλευρῶν*[12]) *ἑκατέραν ἑκατὸν καὶ πεντήκοντα σταδίων*[13]), *τῶν δὲ βραχυτέρων ἐνενήκοντα.* **51.** *Ἐστὶ ῥᾴδιον μὲν ἐπαινεῖν*[14]), *ἃ μὴ χρή*[15]), *καὶ ψέγειν*[16])· *ἑκάτερον δὲ πονηροῦ τινος ἤθους*[17]). **52.** *Οἱ παρόντες*[18]) *τοῖς ἔργοις ἑκάστοις οὐ ταὐτὰ περὶ τῶν αὐτῶν λέγουσιν*[19]), *ἀλλ' ὡς ἄν*[20]) *ἑκατέρῳ τις εὐνοίας ἢ μνήμης ἔχῃ*[21]). **53.** *Αἱ δυςπραξίαι ταχέως καταφανεῖς*[22]) *ποιοῦσιν*[23]), *ὁποῖοί τινες ἕκαστοι τυγχάνουσιν*[24]) *ὄντες*[24]). **54.** *Πάσης λύπης*[25]) *γίγνεται*[26]) *ἰατρὸς χρόνος.* **55.** *Πέφυκε*[27]) *πάντων μὲν ζῴων κρατεῖν*[28]) *τὸ ἔθος, παντὸς*[29])

---

1) (kann) *nützen*, opt. aor. v. *ὠφελέω*, wem? acc. 2) *gab* (er) *zur Antwort*, aor. v. *ἀποκρίνομαι*. 3) *scheint*, v. d. perf. 2. *ἔοικα*, bin ähnlich. 4) *umzuschlagen*, v. *μεταβάλλω*, verändere mich. 5) bei wem? für wen? 6) im Deutschen vor das relat. das demonstr. *bei denjenigen*. 7) sc. *πάρεστιν*, 8) *ist* (dabei), v. *πάρειμι*, bei wem? dat. 9) part. praes. v. *μηχανάομαι*, *derjenige, welcher etwas anstiftet*. 10) *kehrt, wendet* (herum), v. *περιτρέπω*. 11) *es hatte*, v. *ἔχω*. 12) den gen. durch *von*. 13) den gen. durch *zu*. 14) *zu loben*, v. *ἐπαινέω*. 15) sc. *ἐπαινεῖν*. 16) *zu tadeln*, v. *ψέγω*. 17) sc. *ἐστίν*, *zeigt von*. 18) part. praes. v. *πάρειμι*, *diejenigen, welche zugegen sind*, bei wem? dat. 19) *sagen*, 3. pl. v. *λέγω*, im Deutschen ist *doch* hinzuzusetzen. 20) s. *ἄν*, 2. 21) *sich verhält*, conj. v. *ἔχω*, zu wem? dat., in Bezug worauf? gen. 22) sc. *ἑκάστους*. 23) *machen*, 3. pl. v. *ποιέω*. 24) 3. pl. v. *τυγχάνω* u. part. praes. v. *εἰμί*, *τυγχάνω ὤν*, ich bin in der Lage zu sein, *ich bin* (eben). Statt dieser Verbindung von *τυγχάνω* mit einem Particip setzt der Deutsche das Verbum, welches im Griech. im part. steht, als verb. finitum, entweder ohne Zusatz, oder mit dem adv. *gerade, eben*. 25) den gen. durch *für*. 26) *wird*, v. *γίγνομαι*. 27) *ist* (dazu) *geschaffen*, perf. act. v. *φύω*, erzeuge. 28) *zu beherrschen*, v. *κρατέω*, wen? gen. 29) gen. comparat.

δὲ μᾶλλον ἀνθρώπου. **56.** Οἱ Περσῶν βασιλεῖς ἐν τοῖς καλλίστοις τε καὶ ἀναγκαιοτάτοις ἡγούμενοι[1]) εἶναι[2]) ἐπιμελήμασι γεωργίαν[2]) τε καὶ τὴν πολεμικὴν τέχνην[2]), τούτων ἀμφοτέρων ἰσχυρῶς ἐπεμελοῦντο[3]). **57.** Κορῶναι ἀλλήλαις εἰσὶ πιστόταται καὶ σφόδρα ἀγαπῶσι[4]) σφᾶς. **58.** Οἱ φαῦλοι, διαφωνοῦντες[5]) πρὸς ἀλλήλους, ἐχθροί εἰσι καὶ κακοποιητικοὶ ἀλλήλων καὶ πολέμιοι.

XIII.

Activum.

a) Präsens und Imperfectum ohne Contraktion.

1. Κρίνεις σὺ μέγιστον ἀνθρώποις[6]) ἀγαθὸν εἶναι[7]) πλοῦτον[7]); **2.** Πολυμαθία νοῦν οὐ διδάσκει. **3.** Τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει. **4.** Μικρὰ[8]) παλαιὰ σώματ᾽ εὐνάζει ῥοπή. **5.** Ὅμοιον ὁμοίῳ ἀεὶ πελάζει. **6.** Μάντις ἄριστος[9]), ὅστις εἰκάζει καλῶς. **7.** Τὰ παράδοξα[10]), ἢν μὲν ἀγαθὰ ᾖ[11]), μᾶλλον εὐφραίνει τοὺς ἀνθρώπους, ἢν δὲ δεινά, μᾶλλον ἐκπλήττει. **8.** Τὰ ἄστρα ἡμῖν τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει[12]). **9.** Λόγῳ[13]) καὶ τοὺς κακοὺς ἐξελέγχομεν, καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν. **10.** Ἐν πᾶσι τοῖς ἔργοις οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν. **11.** Οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ[14]) διαφέρομεν, ἀλλὰ τῇ φύσει καὶ ταῖς ἐπιμελείαις. **12.** Τῷ λόγῳ προέχομεν τῶν ἄλλων ζῴων. **13.** Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσιν.

---

1) part. praes. v. ἡγέομαι, *welche glaubten.* 2) acc. c. inf. *dass — gehöre*, wozu? ἐν c. dat. 3) *sorgten*, v. ἐπιμελέομαι, wofür? gen. 4) *lieben*, 3. pl. v. ἀγαπάω. 5) part. praes. v. διαφωνέω, *wenn sie nicht übereinstimmen*, mit wem? πρός c. acc. 6) für wen? 7) acc. c. inf. 8) *zu* ῥοπή. 9) sc. ἐστίν. 10) s. II, 20, 2. 11) *ist*, conj. v. εἰμί. 12) s. I, 25, 15. 13) womit? 14) das gut bei Verstand sein, inf. v. φρονέω, *die rechte Verständigkeit.*

14. *Αἱ ἑπτὰ ἐπιφανέσταται πυραμίδες τῆς Μέμφιδος ἀπέχουσι σταδίους ἑκατὸν καὶ εἴκοσι, τοῦ δὲ Νείλου πέντε πρὸς τοῖς τεσσαράκοντα.* 15. *Μέγα ἐστὶ κέρδος, ἢν πιστοὺς ἔχῃς φίλους.* 16. *Μὴ φεύγωμεν*[1]*, ἀλλὰ καλῶς ἀποθνήσκωμεν ὑπὲρ τῆς πατρίδος.* 17. *Ποῖον ἄν*[2] *τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὤν*[3]*, ἢ ἀμαθής*[4]*;* 18. *Σωκράτης ἐρωτηθείς, πῶς ἄν*[2] *τις ἄλυπος διάγοι, τοῦτο ἀδύνατον εἶπεν.* 19. *Ἀγησίλαος, ὁπότε ψεγόντων*[5] *ἢ ἐπαινούντων*[6] *τινὰς*[7] *ἀκούοι, οὐχ ἧττον ᾤετο*[8] *καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ*[9] *περὶ ὧν λέγοιεν*[10]*.* 20. *Ἐκ τῶν λόγων μὴ κρῖνε σοφὸν ἢ χρηστὸν ἄνδρα· τὸν βίον ἐξέταζε ἀεί.* 21. *Ἡ παρρησία σπουδὴν ἐχέτω καὶ ἦθος.* 22. *Μὴ φεύγετε τοὺς πόνους, ἀλλ᾽ ἐθελονταὶ ὑπομένετε.* 23. *Ὁμιλίας ἐσθλὰς διώκειν, ὦ νέοι, σπουδάζετε.* 24. *Πανταχοῦ τὰς ὑπερβολὰς φεύγειν προςήκει, διώκειν δὲ τὸ μέσον.* 25. *Τὸ*[11] *πολλοῖς ἀρέσκειν, σοφοῖς ἐστιν*[12] *ἀπαρέσκειν.* | 26. *Ὁ δίκαιος ἀταρακτότατός ἐστιν, ὁ δ᾽ ἄδικος πλείστης ταραχῆς γέμων*[13]*.* 27. *Φίλους ἔχων*[14] *νόμιζε θησαυροὺς ἔχειν.* 28. *Πρὸς τὸν ἔχονθ᾽*[15] *ὁ φθόνος ἕρπει.* 29. *Φεῦγ᾽ ἡδονὴν φέρουσαν*[16] *ὕστερον βλάβην.* 30. *Ὁ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον*[15] *τῷ φίλῳ.* 31. *Ἄνθρωποι τὸν θάνατον φεύγοντες*[16] *διώκουσιν.*

---

1) den conj. im Deutschen durch *lasst uns.* 2) s. *ἄν*, 3. 3) part. praes. v. *εἰμί, wenn er ist.* 4) ergänze: *wenn er ist.* 5) der gen. ist regiert von *ἀκούοι*, die part. sind aufzulösen mit *solche, welche.* Die deutschen verba müssen im imperf. stehen. Das part. praes. ist auch das part. für das imperf. 6) contr. aus *ἐπαινεόντων.* 7) abhängig von *ψεγ. ἢ ἐπαιν.* 8) *glaubte er*, v. *οἴομαι.* 9) ergänze *ἐκείνων.* 10) der optat. steht im Relativsatz, weil die Fälle öfters vorkamen; im Deutschen den ind. imperf. 11) Im Deutschen kann dieser Artikel unübersetzt bleiben. 12) *heisst.* 13) *γέμων ἐστίν = γέμει*, 14) aufzulösen mit *wenn.* 15) Im Griechischen steht das part. mit dem Artikel, wo im Deutschen *derjenige, welcher* gebraucht wird. 16) aufzulösen mit *welche.*

32. *Σοφοὺς νόμιζε μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν*[1]) *ἐρίζοντας*[2]), *ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας.* **33.** *Αἱ μέλισσαι τὰς ἀποθνησκούσας*[2]) *ἐκκομίζουσιν ἔξω τοῦ σμήνους.* **34.** *Ὁ χρόνος καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα*[2]) *διδάσκει τοὺς ἀνθρώπους.*

35. *Ὅταν τι πράττῃς ὅσιον, ἀγαθὴν ἐλπίδα*
πρόβαλλ' ἑαυτῷ[3]), *τοῦτο γιγνώσκων*[4]), *ὅτι*
τόλμῃ δικαίᾳ καὶ θεὸς συλλαμβάνει.

36. *Πλάτων ἥδιστον εἶναι*[5]) *τῶν ἀκουσμάτων τὴν ἀλήθειαν*[5]) *ἔλεγεν.* **37.** *Ὁ τῶν Ῥωμαίων βασιλεὺς καθ' ἕκαστον ἐνιαυτὸν ἐν τοῖς γενεθλίοις δῶρον*[6]) *ἐλάμβανε φιάλην.* **38.** *Φίλιππος τοὺς Ἀθηναίους εἴκαζε τοῖς Ἑρμαῖς, στόμα μόνον ἔχουσιν*[7]). **39.** *Ποσειδῶν συνῆγε*[8]) *τὰς νεφέλας, καὶ ἐτάραττε τὸν πόντον, ἐμβάλλων*[9]) *τὴν τρίαιναν, καὶ πάσας τὰς θυέλλας ὠρόθυνεν.* **40.** *Κακουργίας Σωκράτης πάντων ἀνθρώπων*[10]) *πλεῖστον ἀπεῖχεν.* **41.** *Σχολαστικὸς οἰκίαν πωλῶν*[11]) *λίθον ἀπ' αὐτῆς εἰς δεῖγμα περιέφερεν.* **42.** *Θεμιστοκλῆς καὶ Ἀριστείδης ἐστασιαζέτην ἔτι παῖδε ὄντε*[12]). **43.** *Πλοῖον εἰς Δῆλον Ἀθηναῖοι ἔπεμπον καθ' ἕκαστον ἐνιαυτόν.* **44.** *Κελτοὶ τὰς θύρας τῶν οἰκιῶν οὐδέποτε ἔκλειον· Αἰθιόπων δὲ ἄθροοι αἱ οἰκίαι ἦσαν, καί, ἐν ταῖς ὁδοῖς κειμένων*[13]) *πολλῶν*[1]), *οὐδὲ εἷς ἔκλεπτεν.* **45.** *Κρῆτες πρῶτοι Ἑλλήνων νόμους εἶχον.* **46.** *Αὐταριᾶται τοὺς ἀδυνάτους τῶν στρατιωτῶν ἐν ταῖς ὁδοιπορίαις οὐδέποτε ζῶντας*[14]) *ἀπέλειπον.* **47.** *Οἱ Ἀθηναῖοι τοὺς νησιώτας καθ' ἕκαστον ἐνιαυτὸν ἑξήκοντα τάλαντα εἰσέπραττον σύνταξιν*[15]). **48.** *Ἐν Θήβαις ὑπῆρχον ἐν ἱερῷ μεγάλῳ ἀνδριάντες καθήμενοι*[16]) *δύο μο-*

---

1) s. II, 20, 2. 2) s. XIII, a, 28, 15. 3) hier = *σεαυτῷ*. 4) mit *indem*. 5) acc. c. inf. 6) als was? 7) mit *welche*. Die Athener redeten viel, handelten aber nicht. 8) v. *συνάγω*. 9) mit *indem*. 10) den gen. durch *von*. 11) contr. aus *πωλέων*, aufzulösen mit *welcher*; s. XIII, a, 19, 5. 12) part. praes. v. *εἰμί*, *als sie waren*. 13) part. v. *κεῖμαι*, *obwohl — lag*. 14) part. aus *ζάοντας*. 15) als was? 16) part. v. *κάθημαι*, *sitzend*.

νόλιθοι ἑπτὰ καὶ εἴκοσι πήχεων[1]). 49. Οἱ Λακεδαιμόνιοι οὐ πρὸς ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον. 50. Οἱ Ἕλληνες τὴν Δήμητρα θεσμοφόρον ὠνόμαζον. 51. Ταῦροι, Σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι[2]) τοὺς εὐνουστάτους τῶν φίλων συγκατέθαπτον· ὁ δὲ βασιλεὺς ἀποθανόντος[3]) φίλου[3]) ἢ μέρος ἢ τὸ ὅλον ἀπέτεμνεν ὠτίον πρὸς τὴν ἀξίαν τοῦ τελευτήσαντος[4]). 52. Κελτοὶ σιδηροφοροῦντες[5]) τὰ[6]) κατὰ πόλιν πάντα ἔπραττον.

b) Präsens und Imperfectum der Verba contracta.

1. Μισῶ σοφιστήν, ὅστις οὐχ αὑτῷ σοφός. 2. Κράτης πρὸς νέον πλούσιον πολλοὺς κόλακας ἐπισυρόμενον[7]), Νεανίσκε, εἶπεν, ἐλεῶ σου τὴν ἐρημίαν. 3. Ὅτ' εὐτυχεῖς, μάλιστα μὴ μέγα φρόνει. 4. Οὔτε τὸν ἄρρωστον ἡ[8]) χρυσῆ ὠφελεῖ κλίνη, οὔτε τὸν ἀνόητον ἡ[8]) ἐπίσημος εὐτυχία. 5. Τὸν τῇ φύσει[9]) οἰκεῖον[10]) οὐδεὶς καιρὸς ἀλλότριον ποιεῖ. 6. Δημῶναξ ἐξεταζόντων[11]) τινῶν[11]), εἰ ὁ κόσμος ἔμψυχος, καὶ αὖθις, εἰ σφαιροειδής, Ὑμεῖς, ἔφη, περὶ μὲν τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς ἑαυτῶν[12]) ἀκοσμίας οὐ φροντίζετε. 7. Οἱ μὲν λύκοι τοῖς κυσίν, οἱ δὲ κόλακες τοῖς φίλοις ὄντες[13]) ὅμοιοι, ἀνομοίων ἐπιθυμοῦσιν. 8. Αἰθίοπας[14]) ἱστοροῦσι[15]) πρώτους ἀνθρώπων ἁπάντων γεγονέναι[14]). 9. Ἡ σωφροσύνη πάρεστιν[16]), ἐὰν μετρῇς σεαυτόν. 10. Ἀνὴρ πονηρὸς δυςτυχεῖ, κἂν[17]) εὐτυχῇ. 11. Εὐδαιμονέσταταί εἰσι πόλεις,

---

1) den gen. durch *von*, oder durch *hoch* mit dem acc. 2) den dat. durch *mit*. 3) gen. absol. part. aor. 2. v. ἀποθνήσκω, *wenn — starb*. 4) part. aor. act. v. τελευτάω, *der Verstorbene*. 5) contr. aus σιδηροφορέοντες. 6) *die Geschäfte des Staates*, s. X, 9, 10. 7) part. praes. med. v. ἐπισύρω, *der — nach sich zog*, *als Gefolge hatte*. 8) im Deutschen den unbestimmten Artikel. 9) wodurch? 10) ergänze: *uns* (dat.). 11) gen. absol. aufzulösen mit *als*. 12) für ὑμῶν αὐτῶν. 13) part. praes. v. εἰμί, *sind zwar — aber*. 14) acc. c. inf., *dass gewesen seien*; inf. perf. 2. v. γίγνομαι. 15) mit *man*. 16) *ist vorhanden*, v. πάρειμι. 17) aus καὶ ἄν.

αἳ ἄν¹) πλεῖστον χρόνον ἐν εἰρήνῃ διατελῶσιν. **12.** Τίς ἂν²) ἐπιχειροίη τοῖς ἀδυνάτοις³); **13.** Μασουλιεῖς Λίβυες, ὁπότε πολεμοῖεν, τὰς μὲν νύκτας⁴) ἐμάχοντο⁵), τὰς δὲ ἡμέρας⁶) εἰρήνην ἦγον. **14.** Θάρσος σὺν λόγῳ αἴνει, τὸ δὲ μετ᾽ ἀλογίας ὂν⁷) ἀποστύγει. **15.** Νόει καὶ τότε πρᾶττε. **16.** Στέργε μὲν τὰ πάροντα, ζήτει δὲ τὰ βελτίω. **17.** Οἱ Ἀθηναῖοι τοὺς συμμάχους ἠνάγκαζον πλεῖν ἐπὶ δίκας Ἀθήναζε. **18.** Ἀνδρεῖος⁸) οὐχ ὁ⁹) τῶν πολεμίων κρατῶν⁹) μόνον, ἀλλὰ καὶ ὁ⁹) τῶν ἡδονῶν κρείσσων ὢν⁹). **19.** Δυςχερὲς¹⁰) ψαύειν νοσοῦντος ἀνδρός. **20.** Κυβερνήτου¹¹) νοσοῦντος¹¹) ὅλον συμπάσχει τὸ σκάφος. **21.** Ψυχῆς¹²) νοσούσης ἐστὶ φάρμακον λόγος. **22.** Βραχὺς¹³) ὁ βίος ἀνθρώπῳ¹⁴) εὖ πράττοντι, δυστυχοῦντι δὲ μακρός. **23.** Πολλοὶ δοκοῦντες¹⁵) ἑαυτοὺς φιλεῖν οὐκ ἀληθῶς φιλοῦσιν. **24.** Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός. **25.** Τοῖς εὖ φρονοῦσι συμμαχεῖ τύχη. **26.** Φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι¹⁶). **27.** Ἀνάχαρσις μαθὼν¹⁷) τέτταρας δακτύλους εἶναι¹⁸) τὸ πάχος¹⁸) τῆς νεώς, τοσοῦτον ἔφη τοῦ θανάτου τοὺς¹⁹) πλέοντας¹⁸) ἀπέχειν¹⁸). **28.** Τοὺς κύκνους¹⁸) φασὶ²⁰) θρηνοῦντας²¹) τὸν θάνατον ὑπὸ λύπης ἐξᾴδειν¹⁸). **29.** Σχολαστικὸς ναυαγεῖν μέλλων²²) πινακίδας ᾔτει, ἵνα διαθήκας γράφῃ· τοὺς δὲ οἰκέτας ὁρῶν²³) ἀλγοῦντας διὰ τοῦ κινδύνου, ἔφη, Μὴ λυπεῖσθε²⁴), ἐλευθερῶ²⁵) γὰρ ὑμᾶς. **30.** Καυσιανοὶ τοὺς μὲν γεννωμέ-

---

1) s. ἄν, 2. 2) s. ἄν, 3. 3) s. II, 20, 2. 4) im Deutschen mit dem Zusatz *hindurch*. 5) *kämpften*, v. μάχομαι. 6) im Deutschen mit dem Zusatz *über*. 7) part. praes. v. εἰμί, mit etwas seiend, *verbunden*. 8) sc. ἐστίν. 9) mit *derjenige*, *welcher*, s. XIII, a, 28, 15. 10) sc. ἐστίν. 11) gen. absol. mit *wenn*. 12) den gen. durch *für*. 13) sc. ἐστίν. 14) den dat. durch *für*. 15) mit *welche*. 16) *sei*, imperat. v. εἰμί. 17) part. aor. 2. v. μανθάνω, *als — erfuhr*. 18) acc. c. inf. 19) s. XIII, a, 25, 15. 20) dicunt, *man sagt*. 21) mit *indem*. 22) mit *als*. 23) part. v. ὁράω, mit *da*. 24) *seid betrübt*, imperat. v. λυπέομαι. 25) Dieß geschah oft in den Testamenten.

νους[1]) ἐθρήνουν, τοὺς δὲ τελευτήσαντας[2]) ἐμακάριζον. **31.** Οἱ νομάδες τῶν Λιβύων οὐ ταῖς ἡμέραις[3]) ἀλλὰ ταῖς νυξὶν[3]) ἠρίθμουν τὸν χρόνον. **32.** Μόσυνοι τὸν τρεφόμενον[4]) σῖτον ἐξ ἴσου διῄρουν, μέρος κοινῇ ἐξελόντες[5]) τοῖς ἀφικνουμένοις[6]) ξένοις. **33.** Οἱ Αἰθίοπες ἤσκουν εὐσέβειαν καὶ δικαιοσύνην.

34. Γελᾷ ὁ μῶρος, κἄν[7]) τι μὴ γελοῖον ᾖ[8]). **35.** Ἐν νέῳ σώματι ὅταν τις τὴν παίδευσιν γενναίαν ἐναρόσῃ[9]), ζῇ τοῦτο καὶ θάλλει διὰ παντὸς τοῦ βίου. **36.** Σχολαστικὸς μαθὼν[10]), ὅτι ὁ κόραξ ὑπὲρ τὰ[11]) διακόσια ἔτη ζῇ, ἀγοράσας[12]) κόρακα εἰς ἀπόπειραν ἔτρεφεν. **37.** Πεινῶσι τοῦ ἐπαίνου οὐχ ἧττον ἔνιαι τῶν φύσεων, ἢ ἄλλαι τῶν σίτων τε καὶ ποτῶν. **38.** Θαλῆς ἐρωτηθείς, πῶς ἂν[13]) ἄριστα[14]) καὶ δικαιότατα βιώσαιμεν[13]), Ἐάν, ἔφη, ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν[15]). **39.** Ὅπου ἄνδρες θεοὺς μὲν σέβοιεν[16]), πολεμικὰ δὲ ἀσκοῖεν, πειθαρχίαν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντα[17]) μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι[17]). **40.** Ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά. **41.** Τὸ[18]) τοῦ Σόλωνος εὖ ἔχει· τέλος ὅρα μακροῦ βίου. **42.** Τιμάτω ἕκαστος τὸ καλὸν καὶ τὸ ἀληθές, καὶ μισείτω τὸ αἰσχρὸν καὶ τὸ ψεῦδος. **43.** Χρὴ σιγᾶν ἢ κρείσσονα σιγῆς[19]) λέγειν. **44.** Οὐκ ἀθυμεῖν δεῖ τὸν κακῶς πράττοντα,

---

1) part. praes. v. γεννάω, *diejenigen, welche geboren wurden.* 2) s. XIII, a, 51, 4. 3) wornach? 4) part. praes. pass. v. τρέφω, ernähre, bringe hervor: *welches wuchs.* 5) part. aor. 2. v. ἐξαιρέω, *nachdem sie hinweggenommen hatten;* für wen? dat. 6) part. praes. v. ἀφικνέομαι, *ankommend.* 7) aus καὶ ἄν. 8) *ist,* conj. v. εἰμί. 9) *einpflanzt,* conj. aor. v. ἐναρόω. 10) s. XIII, b, 27, 17. 11) im Deutschen läßt die bessere Ausdrucksweise den Artikel weg 12) part. aor. v. ἀγοράζω, *kaufte er und.* 13) (wie) *wir leben könnten*, opt. aor. v. βιόω. 14) s. X, 47, 10. 15) was für ein Modus? 16) der opt. stellt den Satz als bloßen Gedanken des Autors dar. Im Deutschen genügt der indic.; man kann aber auch die Wendung gebrauchen: denkt man sich, daß an einem Orte u. d. ü. 17) acc. c. inf. 18) wie das lat. illud, *das Wort, der Ausspruch;* s. X, 9, 10. 19) gen. comparat.

ἀλλὰ τὰ βελτίω προςδοκᾶν. **45.** Τὸ[1]) μὴ τιμᾶν γέροντας ἀνόσιόν ἐστιν. **46.** Ῥᾷστόν ἐστιν ἁπάντων[2]) ἑαυτὸν ἐξαπατᾶν. **47.** Ἦν ὁ λαβύρινθος, ὃν Δαίδαλος κατεσκεύασεν[3]), οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν[4]) τὴν ἔξοδον. **48.** Οὐδέποτε ὀρθῶς ἔχει τὸ[1]) κακῶς πάσχοντα[6]) ἀμύνεσθαι[5]) ἀντιδρῶντα[7]) κακῶς. **49.** Χρὴ τῶν τελευτώντων ἕκαστον τιμᾶν μὴ δακρύοις[8]), μηδὲ οἴκτοις, ἀλλὰ μνήμῃ ἀγαθῇ. **50.** Τῶν μάχῃ νικώντων[9]) καὶ τὸ ἄρχειν ἐστίν[10]). **51.** Φυλάττεσθαι[11]) δεῖ τὰ πείθοντα, μὴ πεινῶντας[12]) ἐσθίειν, μηδὲ διψῶντας πίνειν· ταῦτα γὰρ λυμαίνεται[13]) καὶ γαστέρας[14]) καὶ κεφαλὰς καὶ ψυχάς. **52.** Βίας ἐρωτηθεὶς ὑπ᾽ ἀσεβοῦς ἀνθρώπου, Τί ποτέ ἐστιν εὐσέβεια; ἐσίγα. **53.** Σωκράτης πάντα τἀνθρώπινα ὑπερεώρα[15]) πρὸς τὴν παρὰ τῶν θεῶν ξυμβουλίαν. **54.** Ἐμυθολόγουν οἱ Σύροι Δερκετῷ[16]) τὴν θεὰν μετασχηματισθῆναι[16]) εἰς ἰχθύν· διὸ καὶ ἐτίμων τοὺς ἰχθῦς ὡς θεούς. **55.** Τῶν Αἰθιόπων τῶν παρὰ τὸν Νεῖλον οἰκούντων[17]) οἱ πλεῖστοι τοῖς ἀπὸ τῶν βοσκημάτων κρέασι[14]) καὶ γάλακτι καὶ τυρῷ τὸν πάντα βίον[18]) διέζων. **56.** Ὁ Χάλος ποταμὸς ἦν πλήρης ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον καὶ ἀδικεῖν οὐκ εἴων.

57. Ὁ μὲν γεωργὸς τὴν γῆν, ὁ δὲ φιλοσοφῶν τὴν ψυχὴν ἐξημεροῖ. **58.** Χρόνος ἀμαυροῖ πάντα καὶ εἰς λήθην ἄγει. **59.** Τῇ παιδείᾳ ἡμεροῦμεν τὰς ψυχάς. **60.** Οὐχ ὅταν ἐν

---

1) statt des inf. mit dem Artikel ist im Deutschen der inf. mit *zu* anzuwenden. 2) den gen. durch *von;* s. II, 20, 2. 3) *herstellte, erbaute,* aor. v. *κατασκευάζω.* 4) mit *welches.* 5) *sich zu helfen,* med. v. *ἀμύνω,* wehre ab, s. Anm. 1. 6) mit *wenn (man),* s. II, 2, 2. 7) mit *dadurch, dass (man).* 8) wodurch? 9) s. XIII, a, 28, 15. 10) *es ist die Sache, es steht zu,* wem? gen. 11) *sich hüten,* inf. med. v. *φυλάττω,* bewache, wovor? acc. 12) das part. mit der Negation im Deutschen durch *ohne zu.* 13) *verdirbt,* v. *λυμαίνομαι.* 14) im Deutschen (bei den drei Subst.) den sing. 15) v. *ὑπεροράω.* 16) acc. c. inf. *dass verwandelt worden sei,* inf. aor. pass. v. *μετασχηματίζω.* 17) s. XIII, a, 28, 15 u. 19, 5. wovon? 18) im Deutschen mit dem Zusatz *hindurch.*

ἡδονῇ βιοῖ[1]), τότε κατὰ φύσιν βιοῖ[1]) ἄνθρωπος, ἀλλ᾽ ὅταν ἐν ἀρετῇ[2]). 61. Δίκαιον[3]) τοῖς ἄλλοις παρέχειν, ὅσα ἂν[4]) αὐτὸς ἀξιοῖς λαβεῖν[5]) παρ᾽ αὐτῶν. 62. Ξένοις ἐμβιοῦν οὐκ ἐξῆν[6]) ἐν Σπάρτῃ. 63. Ὁ νόμος κελεύει τιμᾶν τοὺς τὴν πατρίδα ἐλευθεροῦντας[7]). 64. Ἀγησίλαος ἐν Σάρδεσιν ἅμα μὲν ἔκαιε καὶ ἐπόρθει τὰ[8]) περὶ τὸ ἄστυ, ἅμα δὲ καὶ κηρύγματι[9]) ἐδήλου, τοὺς ἐλευθερίας δεομένους[10]) ὡς πρὸς σύμμαχον αὐτὸν[11]) παρεῖναι[10]). 65. Εἴ τις παρὰ Φρυξὶ γεωργικὸν βοῦν ἀποκτείνειεν[12]), ἢ σκεῦος τῶν[13]) περὶ γεωργίαν κλέψειε[14]), θανάτῳ ἐζημίουν[15]).

c) Futurum.

1. Ἰφικράτης ὀνειδιζόμενος[16]) εἰς δυςγένειαν, Ἐγὼ ἄρξω, εἶπε, τοῦ γένους. 2. Λάλει, ἃ δεῖ, καὶ ὅτε δεῖ, καὶ οὐκ ἀκούσεις, ἃ μὴ δεῖ. 3. Ζήσεις βίον κράτιστον, ἂν[17]) θυμοῦ κρατῇς. 4. Χείλων, λυπουμένου[18]) τινὸς[18]) ἐπὶ τοῖς ἑαυτοῦ κακοῖς, εἶπεν· Εἰ τὰ[19]) πάντων κατανοήσεις, ἧττον ἐπὶ τοῖς σεαυτοῦ δυςφορήσεις. 5. Ξένον ἀδικήσεις μηδέποτε, καιρὸν λαβών[20]). 6. Λίαν φιλῶν[21]) σεαυτὸν οὐχ ἕξεις φίλον. 7. Γύμναζε παῖδας· ἄνδρα γὰρ οὐ γυμνάσεις. 8. Χρηστὸς ἔσει[22]), ἂν[17]) κέρδη[23]) μὲν εἶναι[23]) νομί-

1) derselbe Modus? 2) sc. βιοῖ. 3) sc. ἐστί. 4) s. ἄν, 2. 5) *erhalten*, inf. aor. 2. v. λαμβάνω, nehme. 6) *war erlaubt*, v. ἔξεστι. 7) s. XIII, a, 28, 15. 8) das befindliche, *die Gegend*, s. X, 9, 10. 9) wodurch? 10) acc. c. inf. *dass die — Bedürftigen kommen* (sich einfinden) *sollten;* part. v. δέομαι, bedarf, inf. v. πάρειμι. 11) im Deutschen, als ob stünde πρὸς αὐτὸν ὡς πρὸς σύμμαχον. 12) *tödtete*, opt. aor. v. ἀποκτείνω. 13) *von dem, was — gehört*, s. X, 9, 10. 14) *stahl*, opt. aor. v. κλέπτω. 15) sc. αὐτόν. 16) part. praes. pass. v. ὀνειδίζω, schmähe; *als Iph. eine Schmähung erfuhr;* worauf? εἰς, c. acc. 17) s. ἄν, 1. 18) gen. abs. *als betrübt — war*, part. praes pass. v. λυπέω, kränke, betrübe. 19) sc. κακά. 20) part. aor. 2. v. λαμβάνω, *auch wenn du erhältst.* 21) mit *wenn.* 22) fut. v. εἰμί, *du wirst sein.* 23) acc. c. inf.

ζῃς, δι' ὧν[1]) εὐδοκιμήσεις, ἀλλὰ μή, δι' ὧν[1]) εὐπορήσεις. 9. Οὐδεὶς ἐμὲ πείσει, ὡς ἔστιν ἡ ἀδικία τῆς δικαιοσύνης κερδαλεώτερον. 10. Νομοθέτῃ οὐ τοῦτο μέλει, ὅπως ἕν τι γένος ἐν πόλει διαφερόντως εὖ πράξει[2]). 11. Ὁ νοσῶν[3]), ἐὰν ἀγανακτῇ, ὅτι νοσεῖ, δι' αὐτὸ τοῦτο μᾶλλον νοσήσει. 12. Ζημίαν αἱροῦ[4]) μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δὲ διὰ παντός. 13. Οἱ χρηστοὶ παῖδες οὐ μόνον διὰ τοὺς γονέας ἑαυτοὺς ἀγαπήσουσιν, ἀλλὰ καὶ τοὺς γονέας δι' ἑαυτούς. 14. Πολλοὶ μᾶλλον πραγματεύονται[5]), ὅπως ἄρξουσιν[2]), ἢ ὅπως ἄξιοι τούτου ἔσονται[6]). 15. Οἱ ἀνδρεῖοι ἀθάνατον μνήμην ἑαυτῶν καταλείψουσιν. 16. Νόμιζε ἐγκράτειαν[7]) ἀγαθὸν εἶναι[7]) τῷ μέλλοντι[3]) καλόν τι πράξειν. 17. Ἀγριππίνῳ ποτὲ μέλλοντι[8]) ἀριστήσειν ἐπέστη[9]) ὁ λέγων[10]), ὅτι φεύγειν αὐτὸν κελεύει[11]) Νέρων· καὶ ὅς[12]) ἔφη, Οὐκοῦν ἐν Ἀρικίᾳ ἀριστήσομεν. 18. Οἱ Ἀθηναῖοι ἡγοῦντο[13]), εἰ Συρακούσας σχοῖεν[14]), ῥᾳδίως καὶ τὰ ἄλλα ἕξειν. 19. Οὐκ ἀπὸ τῶν κοινῶν προσδοκᾶν χρὴ πλουτήσειν. 20. Πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ[15]) δεῖ τὸν εὖ στρατηγήσοντα[3]) ἔχειν.

21. Πλούτιζε τοὺς φίλους, σαυτὸν γὰρ πλουτιεῖς. 22. Νομιοῦμεν ὁμοίως ἀσεβεῖν[16]) τούς τε τὰ ψευδῆ λέγοντας[16]) περὶ θεοῦ καὶ τοὺς πιστεύοντας αὐτοῖς. 23. Ἔστιν οἵ[17]) οὐ τοῦτο σκοποῦσιν, ἐξ ὅτου τοῖς δεομένοις[18]) τὸν βίον ἐκποριοῦσιν, ἀλλ' ὅπως καὶ τοὺς ἔχειν τι δοκοῦντας[3]) τοῖς ἀπόροις ἐξισώσουσιν. 24. Ἀπόλλων καὶ Ποσειδῶν

---

1) im Deutschen geht dem Relativum das Demonstrativum *dasjenige* voraus. 2) s. IX, 70, 22. 3) s. XIII, a, 28, 15. 4) *erwähle, nimm,* med. v. αἱρέω, nehme. 5) *thun sich um, arbeiten darauf hin,* v. πραγματεύομαι. 6) *sein werden, sind,* fut. v. εἰμί. 7) acc. c. inf. 8) mit *als.* 9) *trat zu ihm,* aor. 2. v. ἐφίστημι. 10) *derjenige, welcher ihm zu sagen hatte.* 11) im Deutschen hat der conj. zu stehen. 12) = οὗτος. 13) *glaubten,* v. ἡγέομαι. 14) *haben würden,* opt. aor. 2. v. ἔχω. 15) wodurch? 16) acc. c. inf. 17) sunt, qui. 18) *den Bedürftigen,* part. praes. v. δέομαι.

Λαομέδοντι ὑπέσχοντο[1]) *ἐπὶ μισθῷ τειχιεῖν τὸ Πέργαμον· τοῖς δὲ τειχίσασι*[2]) *τὸν μισθὸν οὐκ ἀπεδίδου*[3]). *διὰ τοῦτο Ἀπόλλων μὲν λοιμὸν ἔπεμψε*[4]), *Ποσειδῶν δὲ κῆτος.*

d) Aorist.

1. *Λυκοῦργος οὐ τείχεσι*[5]) *τὴν πόλιν ἔφραξεν, ἀλλ' ἀρετῇ τοὺς ἐνοικοῦντας ὠχύρωσεν.* 2. *Θεμιστοκλῆς χωρίον πωλῶν*[6]) *ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει*[7]). 3. *Προμηθεὺς ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους ἔπλασεν.* 4. *Ἐπ' Ἀθηναίους Δαρεῖος ἔπεμψε μυριάδας μὲν πεντήκοντα ἔν τε πλοίοις καὶ ναυσί, ναῦς δὲ τριακοσίας.* 5. *Δαρεῖος μετὰ Καμβύσην Περσῶν ἐβασίλευσεν*[8]). 6. *Ἐν τῇ κατὰ Γιγάντων μάχῃ Ἀθηνᾶ Ἐγκελάδῳ φεύγοντι Σικελίαν ἐπέρριψε τὴν νῆσον.* 7. *Κόνων τοὺς Ἕλληνας ἠλευθέρωσε καὶ τὰ τείχη τῆς πατρίδος ἀνώρθωσεν.* 8. *Σαρδανάπαλος, ἵνα μὴ τοῖς πολεμίοις ὑποχείριος γένηται*[9]), *πυρὰν ἐν τοῖς βασιλείοις κατεσκεύασεν ὑπερμεγέθη, καὶ τόν τε χρυσὸν καὶ τὸν ἄργυρον ἅπαντα, πρὸς δὲ τούτοις τὴν βασιλικὴν ἐσθῆτα πᾶσαν ἐπὶ ταύτην ἐσώρευσε, καὶ ἑαυτόν τε καὶ τὰ βασίλεια κατέκαυσεν.* 9. *Πᾶσιν ἀνθρώποις θεὸς ἐπέταξε πόνους, ἄλλοις ἄλλους*[10]). 10. *Μικρὸν πταῖσμα ἀνεχαίτισε*[11]) *καὶ διέλυσε πάντα.* 11. *Πολλάκις ἔχων*[12]) *τις οὐδὲ τἀναγκαῖα νῦν, αὔριον ἐπλούτησ'*[11]), *ὥςτε χἀτέρους*[13]) *τρέφειν.*

---

1) *versprachen*, aor. 2. v. *ὑπισχνέομαι*. 2) part. aor. v. *τειχίζω*, *nachdem sie — hatten*. 3) *gab*, v. *ἀποδίδωμι*. 4) *schickte*, aor. v. *πέμπω*. 5) wodurch? 6) mit *als*. 7) im Deutschen den conj. s. XIII, c, 17, 11. 8) der aor. bezeichnet hier das Eintreten des Ausgesagten, das Werden, *wurde K.* 9) conj. aor. 2. v. *γίγνομαι*, *werde*. 10) zu übersetzen, wie das lat. aliis alios. 11) in Sätzen, welche die Erfahrung gelehrt hat und lehrt, setzt der Grieche beim Verbum den aor.; im Deutschen gebraucht man das praes. oder das perf. mit dem Zusatz *schon oft*, *noch immer*, oder eine Umschreibung mit *pflegen*. 12) mit *welcher*. 13) = *καὶ ἑτέρους*.

12. Ῥώμη μετὰ μὲν φρονήσεως ὠφέλησεν[1]), ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας[2]) ἔβλαψε, καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων[2]) ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν. 13. Ἐν Αἰγύπτῳ Μακεδόνες ἦρξαν καὶ οἱ[3]) ἀπὸ Μακεδόνων ἓξ ἔτη πρὸς τοῖς διακοσίοις καὶ ἑβδομήκοντα. 14. Οἱ Ἀθηναῖοι Σκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νῆσον ἠνδραπόδισαν καὶ ᾤκισαν αὐτοί. 15. Τὸν Δία πατέρα ἀνδρῶν τε θεῶν τε ὠνόμασαν οἱ ποιηταί. 16. Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς[4]) ἐγκώμια. 17. Κἂν[5]) μόνος ᾖς[6]), φαῦλον μήτε λέξῃς μήτε ἐργάσῃ[7]) μηδέν[8]). 18. Μηδενὶ συμφορὰν ὀνειδίσῃς, κοινὴ γὰρ ἡ τύχη. 19. Νέος ἂν[9]) πονήσῃς[10]), γῆρας ἕξεις εὐθαλές. 20. Ὅσῳ ἂν[11]) ἐρρωμενέστερον[12]) τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν σεαυτοῦ διάνοιαν ἀσκήσεις. 21. Ἀντισθένης ἐρωτηθείς, πῶς ἂν[13]) τις προσέλθοι[13]) πολιτείᾳ, εἶπε· Καθάπερ πυρί, μήτε λίαν ἐγγύς, ἵνα μὴ καῇ[14]), μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃ. 22. Οἱ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μηδέποτε αὐτοὺς τὰ ἀγαθὰ ἐπιλείψῃ. 23. Τῇ γῇ οἷον ἄν[11]) τις τὸ σπέρμα ἐναρόσῃ, τοιαῦτα καὶ τὰ ἐκφόρια δεῖ προςδοκᾶν. 24. Ὁποῖον ἂν[11]) εἴπῃς[15]) ἔπος, τοιοῦτον ἂν[16]) ἐπακούσειας. 25. Πρὸς ἁπάσας τὰς τοῦ βίου περιστάσεις χρησιμωτάτην δικαίως ἄν[16]) τις νομίσειε τὴν ἱστορίας μάθησιν. 26. Χεῖρα πεσόντι[17]) δίδου[18])· σῶσον δ' ἀπερίστατον ἄνδρα. 27. Νίκησον ὀργὴν τῷ λογίζεσθαι[19]) καλῶς. 28. Ὀχύ-

---

1) s. XIII, d, 10, 11. 2) s. XIII, a, 28, 15. 3) im Deutschen mit Umschreibung: *diejenigen, welche von den M. herstammten.* 4) beim Verbot steht vom aor. der conj., vom praes. der imperat. 5) = καὶ ἄν, s. ἄν, 1. 6) *du bist*, conj. v. εἰμί. 7) *thue* (es), conj. aor. v. ἐργάζομαι. 8) s. VIII, 30, 13. 9) s. ἄν, 1. 10) im Lateinischen würde das fut. exact. stehen. 11) s. ἄν, 2. 12) s. X, 47, 10. 13) *nahen könnte*, opt. aor. 2. v. προσέρχομαι. 14) *verbrannt werde, sich verbrenne*, conj. aor. pass. v. καίω. 15) conj. von εἶπον. 16) s. ἄν, 3. 17) part. aor. 2. v. πίπτω, *dem, der gefallen ist.* 18) *gieb*, v. δίδωμι. 19) inf. v. λογίζομαι, überlege; im Deutschen ein Subst. *durch rechte Ueberlegung.*

ρωσον σαυτὸν τῇ αὐταρκείᾳ· τοῦτο γὰρ δυςάλωτόν ἐστι χωρίον. 29. Διογένης εἰς Μύνδον ἐλθὼν[1]) καὶ θεασάμενος[2]) μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, Ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ[3]). 30. Ῥᾴδιον μὲν τὸ κελεῦσαι, χαλεπὸν δὲ τὸ ποιῆσαι. 31. Ἀεί ἐστι[4]) τοῖς[5]) τὰ σώματα καὶ τὰς ψυχὰς εὖ ἔχουσιν, ἐγγὺς εἶναι τοῦ εὐτυχῆσαι. 32. Οὐκ ἄξιον τοῖς λόγοις πιστεῦσαι μᾶλλον ἢ τοῖς ἔργοις. 33. Μικρά γε πρόφασίς ἐστι τοῦ πρᾶξαι[6]) κακῶς. 34. Ἔργον ἐστὶ μακρὰν συνήθειαν ἐν βραχεῖ λῦσαι χρόνῳ. 35. Ἔνιοι λέγουσιν, Ὅμηρον πολὺν χρόνον ἐν Ἰθάκῃ τῇ νήσῳ διατρῖψαι. 36. Ῥᾴδιόν ἐστιν ἑτέρῳ παραινέσαι. 37. Ῥᾴδιον θεῷ πάντα τελέσαι. 38. Ἶλος ἐν Φρυγίᾳ πόλιν κτίσας[7]), ταύτην Ἴλιον ἐκάλεσεν. 39. Διογένης λύχνον μεθ' ἡμέραν ἅψας[7]), ἄνθρωπον, ἔφη, ζητῶ. 40. Διδύμων ἀδελφῶν εἷς ἐτελεύτησε· σχολαστικὸς οὖν, ἀπαντήσας[8]) τῷ ζῶντι, ἠρώτα· Σὺ ἀπέθανες[9]) ἢ ὁ ἀδελφός σου; 41. Ὁ προκαταγιγνώσκων, πρὶν ἀκοῦσαι σαφῶς, αὐτὸς πονηρός ἐστι, πιστεύσας[10]) κακῶς. 42. Ὁ μὴ ἐπιεικὴς πλουτήσας[11]) εὔκολος οὔποτ' ἂν[12]) ἑαυτῷ γένοιτο[12]). 43. Πολυκράτης ἰσχύσας[13]) καὶ τῶν τε ἄλλων νήσων ἄρξας καὶ τὴν Ῥήνειαν ἑλὼν[14]), ἀνέθηκε[15]) τῷ Ἀπόλλωνι. 44. Ἡρακλῆς προσχὼν[16]) νήσῳ Δολίχῃ, τὸ Ἰκάρου σῶμα ἰδὼν[17]) τοῖς αἰγιαλοῖς προςφερόμενον[18]) ἔθαψε, καὶ τὴν νῆσον ἀντὶ Δολίχης Ἰκαρίαν ἐκάλεσεν. ἀντὶ τούτου Δαίδαλος ἐν Πίσῃ εἰκόνα παραπλησίαν

---

1) part. aor. 2. v. ἔρχομαι, *als — kam.* 2) part. aor. v. θεάομαι, (als) *er — sah.* 3) conj. aor. 2. v. ἐξέρχομαι, *herausgehe.* 4) *es ist möglich*, für wen? dat. 5) zu ἔχουσιν, s. XIII, a, 28, 15. 6) s. XIII, b, 45, 1. 7) mit *und.* 8) mit *welcher.* 9) aor. 2. v. ἀποθνήσκω. 10) mit *indem.* 11) mit *wenn.* 12) *kann werden*, opt. aor. 2. v. γίγνομαι. 13) mit *nachdem.* 14) part. aor. v. αἱρέω. 15) *weihte er* (es), aor. v. ἀνατίθημι. 16) *als — nahe gekommen war*, part. aor. 2. v. προςέχω, halte hin, nähere, sc. τὴν ναῦν. 17) part. aor. 2. v. ὁράω, *sah er — und.* 18) *zutreiben*, part. praes. pass. v. προςφέρω.

κατεσκεύασεν Ἡρακλεῖ· ἣν[1]) *νυκτὸς ἀγνοήσας*[2]) *Ἡρακλῆς, λίθῳ βαλὼν*[3]) *ὡς ἔμπνουν, ἔπληξεν.* **45.** *Τοῖς μὲν σταδιοδρομοῦσιν*[4]) *ἐπὶ τῷ τέρματι τὸ βραβεῖον τῆς νίκης, τοῖς δὲ φιλοπονήσασιν ἐπὶ τοῦ γήρως τὸ πρωτεῖον τῆς φρονήσεως ἀπόκειται*[5]).

46. *Μακάριος ὅστις ἔτυχε*[6]) *γενναίου φίλου.* **47.** *Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν*[7]). **48.** *Θησεὺς καὶ Ἡρακλῆς παρὰ πᾶσιν ὀνομαστὴν τὴν αὐτῶν δόξαν κατέλιπον.* **49.** *Ἃ ἂν*[8]) *μάθῃ*[9]) *τις, ταῦτα σώζεσθαι*[10]) *φιλεῖ πρὸς γῆρας.* **50.** *Δίκαιος ἴσθ'*[11]), *ἵνα καὶ δικαίων δὴ τύχῃς.* **51.** *Τὸ μεῖζον τινός*[12]) *ἐστι μεῖζον, οὐδ' ἂν*[13]) *τι εὕροιμεν*[14]) *μεῖζον, ὃ μηδενὸς*[12]) *μεῖζόν ἐστιν.* **52.** *Ἔργον ἐστὶ λύπην ἐκφυγεῖν.* **53.** *Οὐκ ἔστι βίον εὑρεῖν ἄλυπον οὐδενί*[15]). **54.** *Ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, πειρῶ*[16]) *τῆς ψυχῆς ἀθάνατον τὴν γνώμην καταλιπεῖν*[17]). **55.** *Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ, ἐν ἡμέρᾳ δὲ μιᾷ διαφορῆσαι ῥᾴδιον.* **56.** *Δαναὸς ἐξ Αἰγύπτου φυγὼν*[18]) *Ἄργος κατέσχεν*[19]). **57.** *Διαφέρει πολὺ μαθὼν*[20]) *μὴ μαθόντος*[20]). **58.** *Ῥᾷον παραινεῖν ἢ παθόντα*[21]) *καρτερεῖν.* **59.** *Θανόντων*[22]) *οὐδὲν ἄλγος ἅπτεται*[23]). **60.** *Σόλων, ἐπειδὴ ἐδάκρυσε τὸν παῖδα τελευτήσαντα*[24]), *πρὸς τὸν*[25]) *εἰπόντα· Ἀλλ' οὐδὲν ἀνύτεις, εἶπε, Δι' αὐτὸ δὲ τοῦτο δακρύω, ὅτι οὐδὲν ἀνύτω.*

---

1) im Deutschen das Demonstrativum. 2) mit *und*. 3) part. aor. 2. v. *βάλλω*, *indem er* (es) — *warf*, womit? dat. 4) s. XIII, a, 28, 15. 5) *ist aufbewahrt*, *liegt*, v. *ἀπόκειμαι*. 6) v. *τυγχάνω*. 7) v. *ἄγω*, s. XIII, d. 10, 11. 8) s. *ἄν*, 2. 9) v. *μανθάνω*. 10) inf. praes. pass. v. *σώζω*. 11) *ἴσθι*, *sei*, v. *εἰμί*. 12) gen. comparat. zu dem darauffolgenden *μεῖζον*. 13) s. *ἄν*, 3. 14) v. *εὑρίσκω*. 15) s. VIII, 30, 13. 16) 2. sg. imperat. med. v. *πειράω*. 17) nämlich durch Thaten, an die man immer denken, oder durch Schriften, die man immer lesen wird. 18) mit *und*. 19) v. *κατέχω*. 20) mit *derjenige*, *welcher*. 21) v. *πάσχω*, mit *wenn man*. 22) v. *θνήσκω*. 23) 3. sg. praes. med. v. *ἅπτω*. 24) mit *welcher*. 25) im Deutschen das unbestimmte Pron. *einer*, *welcher*.

e. Perfektum und Plusquamperfektum.

1. Ὁ καλὸς κἀγαθὸς ἀνὴρ τὴν ἑαυτοῦ γνώμην ὑποτέταχε τῷ διοικοῦντι [1]) τὰ ὅλα, καθάπερ οἱ ἀγαθοὶ πολῖται τῷ νόμῳ τῆς πόλεως. 2. Νικίας οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν τοὺς οἰκέτας, εἰ λέλουκε καὶ εἰ ἠρίστηκεν. 3. Ἐπὶ ἐπῶν ποιήσει Ὅμηρον πάντες τεθαυμάκασιν. 4. Οἱ Πέρσαι συνάψαντες [2]) τὰς χεῖρας διῆλθον [3]) ἅπασαν τὴν Ἐρετριέων χώραν, ἵν᾽ ἔχοιεν τῷ βασιλεῖ εἰπεῖν [4]), ὅτι οὐδεὶς σφᾶς ἀποπεφευγὼς εἴη. 5. Σχολαστικὸς κατ᾽ ὄναρ δοκῶν [5]) ἧλον πεπατηκέναι, τὸν πόδα ὕπαρ περιεδήσατο [6])· ἕτερος δὲ μαθὼν [5]) τὴν αἰτίαν, ἔφη· Διὰ τί γὰρ ἀνυπόδητος καθεύδεις; 6. Οὐκ ἤρκεσε θεῷ τοῦ σώματος τοῦ ἀνθρωπίνου μόνον προνενοηκέναι, ἀλλὰ καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσεν [7]). 7. Λέγουσι Κροῖσον πεπομφέναι εἰς Λακεδαίμονα περὶ συμμαχίας ἐπὶ Κῦρον. 8. Δαίδαλος ἐν Κρήτῃ κατεσκεύασε λαβύρινθον, πεφευγὼς ἐξ Ἀθηνῶν ἐπὶ φόνῳ. 9. Τὰ σπουδαῖα μελέτα, καὶ ἐάν τι παρηκμακὼς μανθάνῃς, μὴ αἰσχύνου [8])· βέλτιον γὰρ ὀψιμαθῆ καλεῖσθαι [9]) ἢ ἀμαθῆ. 10. Οἱ πολλοί, ὡρμηκότες [10]) ἐπὶ τὸ [11]) σκοπεῖν τὰ τῶν ἄλλων πράγματα, οὐ τρέπονται [12]) ἐπὶ τὸ [11]) ἑαυτοὺς ἐξετάζειν. 11. Οὐκ ἀκήκοας, ὡς οἱ τέττιγες, ὄντες [13]) ἄνθρωποι τὸ παλαιόν, εἰς ὄρνιθας μετέβαλον [14]); 12. Ἔοικεν ὁ βίος θεάτρῳ. 13. Πολλοὶ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν [15]). 14. Οἱ δειλοὶ τὸν θάνατον ὡς ἐσχάτην συμφορὰν πεφρίκασιν. 15. Ξένῳ σιγᾶν κρεῖττον [16]) ἢ κεκραγέναι. 16. Χρύσιππος ἔφησε [17]) χά-

1) s. XIII, a, 28, 15. 2) mit *und*. 3) v. *διέρχομαι*. 4) v. *εἶπον*. 5) mit *welcher*. 6) 3. sg. aor. med. v. *περιδέω*. 7) in welchen Buchstaben verwandelt sich *ν* vor *φ*? 8) 2. sg. imperat. med. v. *αἰσχύνω*. 9) inf. praes. pass. v. *καλέω*. 10) mit *indem*. 11) s. XIII, b, 45, 1. 12) 3. pl. praes. pass. v. *τρέπω*. 13) part. v. *εἰμί*, *waren und*. 14) v. *μεταβάλλω*. 15) v. *πάσχω*, 16) sc. *ἐστίν*. 17) *erklärte*, aor. v. *φημί*, wofür? acc.

λαζαν ὑετοῦ πεπηγότος[1]) διάθρυψιν, πάχνην δὲ δρόσον πεπηγυῖαν. **17.** Τὰς τῶν κακῶς πεπραγότων συμφορὰς μήποτε ὑβρίσῃς[2]).

18. Σαρδανάπαλος στολὴν μὲν γυναικείαν ἐνεδεδύκει, καθόλου δὲ βίον ἔζησε γυναικώδη. **19.** Τῷ Σκύλλης σώματι κυνῶν κεφαλαὶ προσεπεφύκεσαν. **20.** Ξέρξης διὰ τῆς Βοιωτίας διελαύνων[3]), τὰς Πλαταιὰς ἐρήμους οὔσας[4]) κατέκαυσεν· οἱ γὰρ ἐν τῇ πόλει ταύτῃ κατοικοῦντες ἐπεφεύγεισαν εἰς Πελοπόννησον πανδημεί. **21.** Ἐπέπνεον οἱ ἄνεμοι, καὶ ἐπεφρίκει ὁ πόντος καὶ ὁ ἀφρὸς τοῦ ὕδατος ἐξηνθήκει. **22.** Τῇ Θεμιστοκλέους βουλῇ καὶ γνώμῃ πεποιθότες[5]) οἱ Ἀθηναῖοι τὴν πόλιν κατελελοίπεσαν καὶ εἰς τὰς ναῦς ἀπεπεφεύγεσαν.

XIV.

Passivum und Medium.

a. Präsens und Imperfektum ohne Contraktion.

1. Θάρσει λέγων[6]) τἀληθές, οὐ σφάλλῃ ποτέ. **2.** Οὐ τῷ ἀριθμῷ[7]) οὔτε τὰ πολλὰ κρίνεται οὔτε τὰ ὀλίγα, ἀλλὰ πρὸς τὰς χρήσεις· ὥστε τὰ[8]) μὲν ὑπερβάλλοντα τὰ ἱκανὰ[9]) πολλά ἐστι, τὰ δὲ τῶν ἱκανῶν ἐλλείποντα ὀλίγα. **3.** Ἀπρονόητον[10]) ἡ ὀργή, ὥστε πολλάκις ἐξεργάζεται, ὧν[11]) μεταμελεῖν ἀνάγκη. **4.** Ὧν[12]) ἡ σοφία παρασκευάζεται εἰς τὴν τοῦ βίου μακαριότητα, πολὺ μέγιστόν ἐστιν ἡ τῆς φιλίας κτῆσις. **5.** Τὰ μὲν ξύλα, τὸ πῦρ αὔξοντα[13]), ὑπ᾿ αὐτοῦ καταναλίσκεται, ὁ δὲ πλοῦτος ἐκτρέφον τοὺς κόλακας, ὑπ᾿ αὐτῶν τούτων διαφθείρεται. **6.** Πάντα ἐστὶ καλά, ὅσα δικαιοσύνης ἔχεται. **7.** Ἃ[14]) πάσχοντες[14]) ὑφ᾿

---

1) v. πήγνυμι. 2) s. XIII, d. 16, 4. 3) mit *als*. 4) part. v. εἰμί, *welches — war*. 5) v. πείθω. 6) mit *wenn*. 7) wodurch? 8) s. XIII, a, 28, 15. 9) acc. abhängig von ὑπερβάλλοντα. 10) sc. ἐστίν. 11) s. II, 20, 2. 12) statt τούτων, ἅ, *von dem, was*. 13) mit *welches*. 14) Im Deutschen kann das Relativum nicht mit dem Particip verbunden werden,

ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε. 8. Διογένης, Παρὰ μὲν τῶν θεῶν, ἔφη, ὑγίειαν εὔχονται[1]), πάντα δὲ οἱ πλεῖστοι τἀναντία τῇ ὑγιείᾳ πράττουσιν. 9. Νόσος δειλοῖς ἑορτή· οὐ γὰρ ἐκπορεύονται ἐπὶ πρᾶξιν. 10. Μετὰ τῆς ἰσχύος τὴν πρᾳότητα σῶζε, ἵνα μὴ φοβερός, ἀλλ᾽ αἰδοῦς ἄξιος φαίνῃ τοῖς ἐντυγχάνουσιν[2]). 11. Ὀρθῶς γιγνωσκόμενα[3]) οὐ φέρει καρπὸν οὔτε ἐν γεωργίᾳ οὔτε ἐν ναυκληρίᾳ οὔτε ἐν ἀρχῇ, ἣν μή τις ἐπιμελῆται[4]), ὡς ἂν[5]) ταῦτα περαίνηται. 12. Θαρσοῦσι μάλιστα πολέμιοι, ὅταν τοῖς ἐναντίοις[6]) πράγματα καὶ ἀσχολίας πυνθάνωνται. 13. Οἱ ἄνθρωποι τότε γίγνονται βελτίους, ὅταν τῷ θεῷ προσέρχωνται. 14. Ἐρωτήσαντός[7]) τινος[7]) Ἀνταλκίδαν, Πῶς ἄν[8]) τις μάλιστα ἀρέσκοι τοῖς ἀνθρώποις; Εἰ ἥδιστα μὲν, ἔφη, αὐτοῖς διαλέγοιτο, ὠφελιμώτατα δὲ προσφέροιτο. 15. Πῶς ἂν ἀρέσκοι ὁ ἄνθρωπος μᾶλλον τῷ θείῳ, ἢ εἰ ὡς μάλιστα πείθοιτο αὐτῷ; 16. Κέρδος πονηρὸν μὴ λαβεῖν[9]) βούλου ποτέ. 17. Ἀχάριστος ἄνθρωπος μὴ νομιζέσθω φίλος. 18. Ἀριστοτέλης εἶπεν· ἐπειδὴ μὴ γίγνεται τὰ πράγματα, ὡς βουλόμεθα, δεῖ βούλεσθαι, ὡς γίγνεται. 19. Ζήνων[10]) ἔλεγεν οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι ὡς χρόνου. 20. Ἐστὶν ὀλίγον χρόνον ἀλγήσαντα[11]), πολὺν χρόνον εὐδοκιμοῦντα εὐφραίνεσθαι. 21. Οἱ μὴ θέλοντες διὰ τὸ ἐπίπονον διδάσκεσθαι, ἀλλὰ ἐν ἡδοναῖς ἀκαίροις διάγειν, φύσει οὗτοι κάκιστοι[12]). 22. Τῶν ἀγαθῶν χρὴ ἡμᾶς ὀρέγεσθαι, καὶ

---

sondern es muß ein solches Relativum gebraucht werden, welches zum verb. finitum paßt, und zum Particip oder zu dessen Auflösung wird das Demonstrativ gesetzt, welches dem griech. Relat. entspricht. *Dasjenige, worüber ihr, wenn ihr es* u. d. ü. 1) sc. *οἱ ἄνθρωποι.* 2) s. XIII, a, 28, 15. 3) mit *auch was.* 4) contr. aus *ἐπιμελέηται* v. *ἐπιμελέομαι.* 5) *ἄν* kann hier ausgedrückt werden durch *gegebenen Falls.* Ein solches *ἄν* findet sich im Absichtssatz nur nach *ὡς* u. *ὅπως*, nicht nach *ἵνα.* 6) im Deutschen durch den gen. 7) gen. abs. mit *als.* 8) s. *ἄν*, 3. 9) v. *λαμβάνω.* 10) aus Kitium. 11) mit *nachdem;* s. II, 2, 2. 12) sc. *εἰσίν.*

τῶν κακῶν ἔργων ἀπέχεσθαι. **23.** Ἀρχόμενοι[1]) πάντες ὀξύτερον ἀντιλαμβάνονται. **24.** Οἱ μεταβαλλόμενοι τὰς ἐργασίας οὐδὲ πρὸς ἓν τῶν ἔργων ἀκριβῶς ἔχουσιν. **25.** Πολλοὶ διὰ τὸν πλοῦτον ἐπιβουλευόμενοι[2]) ἀπόλλυνται[3]). **26.** Μὴ ζήτει τὰ γιγνόμενα[4]) γίγνεσθαι[4]), ὡς θέλεις, ἀλλὰ θέλε, ὡς τὰ γιγνόμενα γίγνεται, καὶ εὐπορήσεις. **27.** Πλειόνων[5]) τῶν γυμνασίων[6]) καὶ τῶν ποτῶν καὶ σιτίων προςφερομένων[6]) ἢ ἐλαττόνων[5]) φθείρεται ἡ ὑγίεια, συμμέτρως δὲ τῶν εἰρημένων[6]) ὄντων[6]) σώζεται ἥ τε ἰσχὺς καὶ ἡ ὑγίεια. **28.** Ἀφ᾽ ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις[7]). **29.** Ἀριστοτέλης ἐρωτηθείς, τί περιγίγνεται κέρδος τοῖς ψευδομένοις, Ὅταν, ἔφη, λέγωσιν ἀληθῆ, μὴ πιστεύεσθαι[8]). **30.** Τοὺς γενομένους[9]) κύνας τῶν προβάτων κατακόπτειν[10]) φασὶ[11]) δεῖν.

31. Ἀγησίλαος ἱερὰ μὲν καὶ τὰ ἐν τοῖς πολεμίοις ἐσέβετο, ἱκέτας δὲ θεῶν οὐδὲ ἐχθροὺς[12]) ἐβιάζετο. **32.** Σωκράτης, τῶν ἑταίρων[13]) ἐκκλέψαι βουλομένων[13]) αὐτὸν ἐκ τοῦ δεσμωτηρίου, οὐκ ἐφείπετο. **33.** Ὀρφεῖ κιθαρίζοντι[14]) ἐφείπετο τὰ τετράποδα καὶ τὰ ὄρνεα καὶ τὰ δένδρα. **34.** Κῦρος[15]) φίλων ᾤετο δεῖσθαι, ὡς συνεργοὺς ἔχοι. **35.** Κλεάνθης, πένης ὢν[16]) ἄγαν, νύκτωρ μὲν ἐν τοῖς κήποις ἤντλει, μεθ᾽ ἡμέραν δ᾽ ἐν τοῖς λόγοις ἐγυμνάζετο. **36.** Οἱ παῖδες παρὰ Πέρσαις ὥσπερ μαθήματα τὸ ἀληθεύειν ἐδιδάσκοντο. **37.** Εἰ τὸ συνεχῶς λαλεῖν σημεῖον ἦν[17]) τοῦ φρονεῖν, αἱ χελιδόνες πολὺ ἂν[17]) ἡμῶν[18]) ἐλέγοντο σοφώτεραι.

---

1) im Deutschen durch das substant. 2) mit *indem;* im Griechischen wird, auch wenn ein verbum den dativus regiert, das passivum persönlich, mit dem nom. aus diesem dat., construirt. 3) *gehen zu Grunde,* pass. v. ἀπόλλυμι, verderbe. 4) acc. c. inf. 5) den comp. durch *zu* mit dem positiv. 6) gen. absol. mit *wenn;* ὄντων v. ὤν. 7) mit *wenn.* 8) mit *dass;* s. Anm. 2. 9) mit *welche.* 10) abhängig von δεῖν. 11) dicunt v. φημί. 12) statt der apposition im Deutschen einen Satz: *auch wenn sie — waren.* 13) gen. absol. mit *als.* 14) mit *wenn.* 15) der Jüngere. 16) mit *welcher.* 17) s. ἄν, 4. 18) gen. comparat.

38. *Πέρσαι ἀγάλματα καὶ βωμοὺς τοῖς θεοῖς οὐχ ἱδρύοντο.* **39.** *Λύκιοι τὰς μαρτυρίας ἐν ταῖς δίκαις οὐκ εὐθὺς παρείχοντο, ἀλλὰ μετὰ μῆνα.* **40.** *Οἱ Λακεδαιμόνιοι τοὺς γέροντας ᾐσχύνοντο οὐδὲν ἧττον ἢ πατέρας.* **41.** *Παρὰ τοῖς Λακεδαιμονίοις συνεξεπέμποντο*[1]) *τῷ βασιλεῖ μάντεις καὶ ἰατροὶ καὶ αὐληταί.* **42.** *Οἱ Περσῶν βασιλεῖς πρὸ μὲν τῶν θυσιῶν περὶ εὐσεβείας διελέγοντο, πρὸ δὲ τοῦ πίνειν περὶ σωφροσύνης, πολεμεῖν δὲ μέλλοντες*[2]) *περὶ ἀνδρείας.*

b. Präsens und Imperfektum der Verba contrakta.

1. *Ἐκ μὲν τῶν ματαίων λόγων ἔχθρας ἀναιρούμεθα, ἐκ δὲ τῶν κακῶν ἔργων νόσους καὶ ζημίας.* **2.** *Ἄξιον*[3]) *τούτους ἐπαινεῖν τῶν ἀνθρώπων, οἱ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου.* **3.** *Οὐκ ἔστιν ἐμπορεύματα λυσιτελέστερα ἢ ὅσα ἄνθρωποι ἄθλων ὠνοῦνται.* **4.** *Σόλων, πῶς ἄριστα αἱ πόλεις οἰκοῖντο, ἐρωτηθεὶς εἶπεν· Ἐὰν μὲν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις.* **5.** *Παρρησίαν παντὸς ὠνοῦ χρυσίου.* **6.** *Οἱ ἄρχοντες ἐπιμελείσθων πάντων.* **7.** *Χρὴ μὴ καταφρονεῖν τοῦ πλήθους, μηδὲ παρὰ μικρὸν ἡγεῖσθαι τὸ παρὰ πᾶσιν εὐδοκιμεῖν.* **8.** *Ἀγησίλαος πολλάκις προηγόρευε τοῖς στρατιώταις τοὺς ἁλισκομένους μὴ ὡς ἀδίκους τιμωρεῖσθαι, ἀλλ' ὡς ἀνθρώπους ὄντας*[4]) *φυλάσσειν.* **9.** *Ὁ τοιοῦτος ὢν τὴν φύσιν*[5]), *ὥστε μηδὲ τὸν κεραυνὸν φοβεῖσθαι, μαινόμενος, ἀλλ' οὐκ ἀνδρεῖός ἐστιν· ὁ δ' ἔμπαλιν πάντα φοβούμενος, ὥστε καὶ τὴν σκιάν, ἀγεννὴς καὶ δειλός.* **10.** *Ἐκπονῶν*[6]) *καὶ ἐπιμελούμενος καὶ ἀσκῶν ἄνθρωπος μᾶλλον τυγχάνει τῶν ἀγαθῶν.* **11.** *Κολάζεται Σίσυφος ἐν*

---

1) welches ε ist das Augment? welche Buchstabenveränderung trat vor demselben ein? 2) mit *wenn.* 3) sc. *ἐστί.* 4) im Deutschen nicht besonders auszudrücken. 5) worin? 6) die part. im Deutschen durch substantiva, mit *durch.*

Ἅιδου[1]) πέτρον ταῖς χερσὶ[2]) καὶ τῇ κεφαλῇ κυλίων[3]), καὶ τοῦτον ὑπερβάλλειν θέλων· οὗτος δὲ ὠθούμενος[4]) ὑπ᾽ αὐτοῦ ὠθεῖται πάλιν εἰς τοὐπίσω[5]). 12. Ἡδύ γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις. 13. Οἱ τραγικοὶ τέτταρσι δράμασιν[6]) ἠγωνίζοντο· τὰ δέ τέτταρα δράματα ἐκαλεῖτο τετραλογία. 14. Προςεποιεῖτο Μίνως παρὰ τοῦ Διὸς τοὺς νόμους μεμαθηκέναι[7]). 15. Ἀλιτέμιοι Λίβυες τοὺς ταχίστους αὐτῶν ᾑροῦντο βασιλέας, τῶν δὲ ἄλλων ἐτίμων τὸν δικαιότατον. 16. Πέρσαι οὐχ ὅσιον ἡγοῦντο τοὺς νεκροὺς καίειν· θεὸν[8]) γὰρ νομίζοντες[9]) εἶναι[8]) τὸ πῦρ, οὐ δίκαιον[8]) εἶναι[8]) ἔλεγον θεῷ νέμειν νεκρὸν ἀνθρώπου.

17. Οὐ τιμᾶται θεὸς ὑπ᾽ ἀνθρώπου φαύλου, οὐδὲ θεραπεύεται δαπάναις[10]), ἀλλ᾽ ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων. 18. Καθ᾽ ἕκαστον ἔτος ἀεὶ νέας ἰλύος[11]) ἀθροιζομένης[11]) πρὸς τὰ στόματα τοῦ Νείλου, καθορᾶται[12]) τὸ μὲν πέλαγος ἐξωθούμενον τοῖς προσχώμασιν, ἡ δὲ χώρα τὴν αὔξησιν λαμβάνουσα. 19. Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι διαπλανῶνται. 20. Φίλους[13]) κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας[14]). 21. Μὴ πάντα πειρῶ πᾶσι πιστεύειν ἀεί. 22. Μήτε λίαν πολυτελῶς μήτε ἄγαν εὐτελῶς πειρῶ τὰ περὶ[15]) τὴν ἐσθῆτα καὶ δίαιταν καὶ τὴν ἑτέραν διαγωγὴν τὸ σῶμα διοικεῖν· τὸ μὲν γὰρ φθονεῖσθαι[16]) ἢ γελᾶσθαι ποιεῖ, τὸ δὲ μισεῖσθαι ἢ ἐλεεῖσθαι. 23. Δεινὸν[17]) μὴ ἀμελ-

---

1) durch den gen. ist angedeutet, daß der zu ἐν gehörende Begriff ein dem Hades Zugehöriges ist; während im Griechischen diese Andeutung genügt, bedarf es im Deutschen des Ausdruckes desselben durch ein Substantiv: *im Reich des Hades.* 2) womit? 3) mit *dadurch, dass.* 4) mit *so oft.* 5) aus τὸ ὀπίσω. 6) womit? 7) v. μανθάνω. 8) acc. c. inf. 9) mit *da.* 10) wodurch? 11) gen. absol. mit *da.* 12) das pass. durch *man* und das folgende part. praes. pass. durch das part. perf., das part. aor. act. aber durch den infinitiv. praes. 13) als was? 14) v. ὤν s. XIII, a, 28, 15. 15) τὰ περί, *in Bezug auf dasjenige, was betrifft;* es bedarf aber im Deutschen bloß der praep. *in.* 16) die inf. durch *dass man.* 17) sc. ἐστίν.

βεσθαι[1]) πειρᾶσθαι τοὺς εὐεργέτας, εἰ καὶ μὴ πράγμασιν[2]) ἄλλοις, εὐχαριστίαις γοῦν ταῖς διὰ λόγων. 24. Ἀρίστιππος παρεκελεύετο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς καὶ ναυαγήσασι[3]) συνεκκολυμβήσει. 25. Παίδευσις καλὴ διδάσκει χρῆσθαι νόμοις καὶ λέγειν περὶ τῶν δικαίων καὶ ἀκούειν. 26. Ὥσπερ ὁ οἶνος κιρνᾶται τοῖς τῶν πινόντων τρόποις[4]), οὕτω καὶ ἡ φιλία τοῖς τῶν χρωμένων[5]) ἤθεσιν. 27. Πλάτων πολλάκις διψῶν[6]) ἐκ τοῦ φρέατος ἀνιμᾶτο τὸ ὕδωρ καὶ ἐξέχει[7]) κολάζων[8]) τὴν ἐπιθυμίαν. 28. Ὁ τὴν Ἅιδου κυνῆν ἐν τῇ κεφαλῇ ἔχων[9]) αὐτὸς μέν, οὓς ἤθελεν, ἔβλεπεν, ὑπ᾽ ἄλλων δὲ οὐχ ἑωρᾶτο. 29. Φρύγες ὅρκοις οὐκ ἐχρῶντο, οὔτε ὀμνύντες[10]), οὔτε ἄλλους ἐξορκοῦντες. 30. Λακεδαιμόνιοι εἱστιῶντο πάντες ἐν κοινῷ.

31. Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ. 32. Οὐδὲν ἐν τῷ βίῳ χωρὶς ἀσκήσεως κατορθοῦται, δυνατὴ δὲ αὕτη πᾶν ἐκνικῆσαι. 33. Οὐκ ἐλαττοῦται, ὅστις σπουδαῖος[11]), ἀπὸ τῆς τύχης· κρείττονα γὰρ αὐτὸν πάσης συντυχίας ἡ μεγαλοψυχία ἀπεργάζεται. 34. Πᾶν τὸ τιμώμενον[9]) αὔξεται, ἐλαττοῦται δὲ τὸ ἀτιμαζόμενον. 35. Ἀρετή, ὅσῳπερ[12]) μᾶλλον ἂν[13]) χρῆσθαι θέλῃς, τοσῷδε[12]) μᾶλλον αὔξεται τελειουμένη[8]). 36. Παρ᾽ Ἰνδοῖς ὁ τεχνίτου πηρώσας[9]) χεῖρα ἢ ὀφθαλμὸν θανάτῳ ἐζημιοῦτο. 37. Κράτης καὶ Πολέμων οὕτως ἀλλήλω ἐφιλείτην, ὥστε καὶ ζῶντε οὐ μόνον τῶν αὐτῶν ἤστην[14]) ἐπιτηδευμάτων, ἀλλὰ καὶ μέχρι σχεδὸν ἀναπνοῆς ἐξωμοιούσθην ἀλλήλοιν, καὶ θανόντε[15]) τῆς αὐτῆς ταφῆς ἐκοινωνείτην.

---

1) abhängig von πειρᾶσθαι. 2) womit? 3) mit *wenn*. 4) für wen? 5) sc. τῇ φιλίᾳ. 6) mit *wenn*; s. XIII, a, 19, 5. 7) ξ ist erst durch das Augment nöthig geworden. 8) mit *indem*. 9) s. XIII, a, 28, 15. 10) mit *indem*; part. praes. v. ὄμνυμι. 11) sc. ἐστίν. 12) = ὅσῳ — τοσούτῳ. 13) s. ἄν, 2. 14) 3. dual. imperf. v. εἰμί, hier in Verbindung mit dem gen. *sie hatten*. 15) v. θνήσκω, das part. im Deutschen durch das subst.

c. Futurum und Aoristus Medii.

1. Φιλόπονος ἴσθι[1]), καὶ βίον κτήσῃ καλόν. **2.** Ὁ κακῶς διανοηθεὶς[2]) ὑπὲρ τῶν ἰδίων[3]) οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων. **3.** Οὐδένα δεῖ τοῦτο μηχανᾶσθαι, ὅπως ἀποφεύξεται[4]) πᾶν ποιῶν[5]) θάνατον.

4. Οὐκ ἔστι θνητῶν[6]), ὅστις ἐξεπίσταται[7]),
Τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.

5. Πολλοὶ μὲν πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
Ἀλλ' ἡμεῖς αὐτοῖς[8]) οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον[9]) αἰεί,
Χρήματα δ' ἀνθρώπων[10]) ἄλλοτε[11]) ἄλλος[11]) ἔχει.

6. Ἂν[12]) σωφρονῶμεν, θεὸν παραιτησόμεθα συγγνώμονα ἡμῖν εἶναι. **7.** Χείλων προσέταττε μὴ κακολογεῖν τοὺς πλησίον· εἰ δὲ μή[13]), ἀκούσεσθαι[14]), ἐφ' οἷς λυπήσεσθαι[14]). **8.** Λεωνίδας ἀκούσας[15]) ἐπισκιάζεσθαι[16]) τὸν ἥλιον[16]) τοῖς Περσῶν τοξεύμασιν[17]), Χάριεν, ἔφη, ὅτι καὶ ὑπὸ σκιᾷ μαχούμεθα. **9.** Ἀγησίλαος προεῖπε τοῖς στρατιώταις, ὡς εὐθὺς ἡγήσοιτο τὴν συντομωτάτην[18]) ἐπὶ τὰ κράτιστα[19]) τῆς χώρας, ὅπως αὐτόθεν αὐτῷ τὰ σώματα καὶ τὴν γνώμην παρασκευάζοιντο, ὡς[20]) ἀγωνιούμενοι.

10. Πολλοὺς ἤδη ἀπειργάσατο πτωχοὺς καὶ ἀπόρους ἀσωτεία καὶ πολυτέλεια. **11.** Σόλων τὴν σεισάχθειαν εἰςηγήσατο Ἀθηναίοις· τὸ[21]) δὲ ἦν λύτρωσις σωμάτων καὶ

---

1) 2. sg. imperat. v. εἰμί. 2) part. aor. v. διανοέομαι. 3) s. II, 20, 2. 4) s. IX, 70, 22. 5) *auf jede Weise;* wie heißt es wörtlich? 6) den gen. durch *unter;* im Deutschen ist *Jemand* zu ergänzen; was ist aber statt *nicht Jemand* zu sagen? 7) 3. sg. praes. ind. v. ἐξεπίσταμαι. 8) für ἡμῖν αὐτοῖς. 9) sc. ἐστίν. 10) abhängig von ἄλλος. 11) wie im Lat. alias alius. 12) s. ἄν, 1. 13) *wenn man aber nicht folge,* dafür bloß: *sonst.* 14) inf. der orat. obliqua, im Deutschen durch den conj. 15) mit *als.* 16) acc. c. inf. 17) wodurch? 18) sc. ὁδόν. 19) hier Substantiv: *der stärkste Theil.* 20) das part. fut. mit ὡς läßt sich im Deutschen wiedergeben durch Wendungen wie: *als solche, welche; in der Erwartung, bei der Ansicht, dass.* 21) s. ὁ, 1.

κτημάτων· καὶ γὰρ ἐπὶ σώμασιν ἐδανείζοντο, καὶ πολλοὶ δι' ἀπορίαν ἐθήτευον. **12.** Ἰὼ εἰς βοῦν μεταμορφωθεῖσα[1]) τὸν Βόσπορον διενήξατο καὶ ἔδωκε[2]) τῷ πορθμῷ τὸ ὄνομα. **13.** Ἀργύριον οὐδείς πω οὕτω πολὺ ἐκτήσατο, ὥστε μὴ ἔτι προςδεῖσθαι. **14.** Τίς τῶν μεγίστων, δειλὸς ὢν[3]), ὠρέξατο; **15.** Λυκοῦργος οὐδὲν[4]) ἂν[5]) διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι[6]) τοῖς νόμοις μάλιστα ἐνειργάσατο αὐτῇ. **16.** Θησεὺς καὶ Ἡρακλῆς οὐ μόνον τοῖς ὅπλοις[7]) ἐκοσμήσαντο παραπλησίοις, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασιν ἐχρήσαντο τοῖς αὐτοῖς. **17.** Οἱ Ἀθηναῖοι ἐμπόριον[8]) ἐν μέσῳ τῆς Ἑλλάδος τὸν Πειραιᾶ κατεσκευάσαντο. **18.** Σχολαστικὸς ἰατρῷ συναντήσας[9]), Συγχώρησόν μοι, εἶπε, καὶ μή μοι μέμψῃ[10]), ὅτι τοσοῦτον χρόνον οὐκ ἐνόσησα. **19.** Σωκράτης Ἀλκιβιάδου[11]) διδόντος[11]) αὐτῷ χώραν μεγάλην, ἵνα ἐνοικοδομήσηται οἰκίαν, Καὶ εἰ ὑποδημάτων, ἔφη, ἔδει[12]), καὶ βύρσαν μοι ἐδίδους[12]), ἵν' ἐμαυτῷ ὑποδήματα ποιησαίμην, καταγέλαστος ἂν[12]) ἦν λαβὼν[13]). **20.** Οὗ ἅψαιτο[14]) Μίδας ἢ τῇ χειρὶ[7]) ἢ τῷ στόματι, ἐγίγνετο χρυσός. **21.** Λόγισαι πρὸ ἔργου! **22.** Διογένης πρὸς τὸν[15]) ἐντινάξαντα αὐτῷ δοκόν, εἶτα εἰπόντα[16]), Φύλαξαι, Πάλιν γάρ με, ἔφη, παίειν μέλλεις; **23.** Ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει. **24.** Ὅστις θέλει χαρίσασθαι τῷ θυμῷ παραχρῆμα, θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων. **25.** Κάλλιόν ἐστιν ἀντὶ θνητοῦ σώματος ἀθάνατον δόξαν ἀντικαταλλάξασθαι. **26.** Μέγας τῷ ὄντι[17]) οὗτος ἀνήρ[18]), ὃς ἂν[19]) μεγάλα δύνηται[20]) γνώμῃ[7]) διαπράξασθαι μᾶλλον ἢ ῥώμῃ. **27.** Βραχὺς ὁ

---

1) part. aor. pass. v. *μεταμορφόω*. 2) aor. 1. act. v. *δίδωμι*. 3) mit *wenn*. 4) worin? 5) s. *ἄν*, 4. 6) im Deutschen statt des inf. das substant. 7) womit? 8) als was? 9) mit *als*. 10) s. XIII, d, 16, 4. 11) gen. absol. *als* — *gab*, part. praes. v. *δίδωμι*. 12) s. *ἄν*, 4, *ἐδίδους* ist die 2. sg. imperf. act. v. *δίδωμι*. 13) *wenn ich es nähme*, part. aor. 2. v. *λαμβάνω*. 14) s. XIII, a, 19, 10. 15) *einer, welcher*. 16) *und* (welcher). 17) v. *ὤν*. 18) sc. *ἐστίν*. 19) s. *ἄν*, 2. 20) 3. sg. conj. praes. v. *δύναμαι*.

βίος, ἡ δὲ τέχνη μακρά, καὶ μᾶλλον ἡ τὰς τῆς ψυχῆς νόσους ἰάσασθαι δυναμένη[1]). **28.** Διογένης ἐξέβαλε τῆς πήρας τὸ τρυβλίον, παιδίον θεασάμενος[2]), ἐπειδὴ κατέαξε[3]) τὸ σκεῦος, τῷ κοίλῳ[4]) τοῦ ψωμίου τὴν φακῆν ὑποδεχόμενον[5]). **29.** Πρὸ τῶν Τρωικῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς. **30.** Σιμωνίδης ἔλεγε, μηδέποτε αὐτῷ μεταμελῆσαι[6]) σιγήσαντι[7]), φθεγξαμένῳ[7]) δὲ πολλάκις.

31. Δημοσθένης ἐρωτηθείς, Πῶς τῆς ῥητορικῆς περιεγένου[8]); Πλέον, ἔφη, ἔλαιον οἴνου[9]) δαπανήσας[10]). **32.** Φαῦλος μηδεὶς προστάτης ἀγαθὸς οἴκου ἐγένετο. **33.** Ἀνάστατοι κατὰ τὴν Λιβύην πόλεις τινὲς ἐγένοντο, πλήθους[11]) λεόντων ἐπελθόντος[11]) ἐκ τῆς ἐρήμου. **34.** Οἱ Λακεδαιμόνιοι τῇ ὑστεραίᾳ τῆς μάχης τῆς ἐν Μαραθῶνι ἀφίκοντο[12]). **35.** Βραδέως ἐγχείρει τοῖς πραττομένοις[13])· ὃ δ' ἂν[14]) ἕλῃ[15]), βεβαίως τηρῶν διάμενε. **36.** Σωκράτης ἐρωτηθείς, Πῶς ἂν[16]) γένοιτό τις πλούσιος; Εἰ τῶν ἐπιθυμιῶν, ἔφη, εἴη[17]) πένης. **37.** Πέρσαις νόμος ἦν, ὁπότε βασιλεὺς ἀποθάνοι[18]) ἀνομίαν[19]) εἶναι[19]) πέντε ἡμερῶν, ἵν' αἴσθοιντο[20]), ὅσον ἄξιός ἐστι βασιλεὺς καὶ νόμος. **38.** Ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε[21]) τῶν πραγμάτων. **39.** Ὅταν τῶν νουθετικῶν λόγων ἐπιλάθηταί[22]) τις, τοῦτον[23]) οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι[23]).

---

1) part. praes. v. δύναμαι, *diejenige, welche.* 2) mit *als.* 3) v. κατάγνυμι. 4) womit? 5) im Deutschen den inf. 6) s. XIV, c, 7, 14. 7) im Griech. ist das part. auf αὐτῷ bezogen und steht daher im dat.; im Deutschen steht der inf. perf. mit *zu.* 8) v. περιγίγνομαι. 9) gen. comparat. 10) mit *indem.* 11) gen. absol. mit *indem;* ἐπελθ. v. ἐπέρχομαι. 12) v. ἀφικνέομαι. 13) das part. praes. pass. hat hier die Bedeutung des lat. part. fut. pass. iis, quae facienda sunt = negotiis (im allgemeinen, nicht negotiis tuis). 14) s. ἄν, 2. 15) v. αἱρέω, s. XIII, d, 19, 10. 16) s. ἄν, 3. 17) 3. sg. opt. praes. v. εἰμί. 18) v. ἀποθνήσκω. 19) acc. c. inf. 20) v. αἰσθάνομαι. 21) v. ἀντιλαμβάνω. 22) v. ἐπιλανθάνομαι. 23) acc. c. inf. abhängig v. θαυμαστόν sc. ἐστίν.

40. Τῆς ἀρετῆς πάντες ἐ φ ι κ έ σ θ α ι[1]) δυνάμεθα[2]), ἧς[3]) οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστιν. **41.** Πονηρὰ φύσις μεγάλης ἐξουσίας ἐ π ι λ α β ο μ έ ν η[4]) δημοσίας[5]) ἀπεργάζεται συμφοράς.

d. Aor. pass. Fut. pass. Adject. verb.

1. Ἀρίων ἐ σ ώ θ η ὑπὸ δελφῖνος. **2.** Οὐ δίκαιον[6]), ἃ τῇ ἀπορίᾳ[7]) ἐ κ τ ή θ η, τῇ περιουσίᾳ[7]) ἀπολέσθαι[8]). **3.** Τῶν Ἑλληνικῶν πλαστῶν[9]) Φειδίας καὶ Πολύκλειτος καὶ Μύρων καὶ Πραξιτέλης μάλιστα ἐ π ῃ ν έ θ η σ α ν[10]) καὶ ἐ θ α υ μ ά σ θ η σ α ν. **4.** Πυθαγόρας πρῶτος ἑαυτὸν φιλόσοφον ὠνόμασεν, οἱ δὲ παλαίτεροι σοφοὶ ὠ ν ο μ ά σ θ η σ α ν. **5.** Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα σ υ ν ε θ ι σ θ ῇ ς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. **6.** Κράτιστόν ἐστι τὸ[11]) ὅσα[12]) ἂν γνῷς[12]) ἀγαθὰ εἶναι ἐπιμελεῖσθαι, ὡς ἂν[13]) π ρ α χ θ ῇ. **7.** Ἡ σιδηρῖτις λίθος οὐκ ἄγει τὸν σίδηρον, ἂν[14]) σκορόδῳ χ ρ ι σ θ ῇ. **8.** Ἄνευ ὁμονοίας οὔτ᾽ ἂν[15]) πόλις εὖ π ο λ ι τ ε υ θ ε ί η, οὔτ᾽ οἶκος καλῶς ο ἰ κ η θ ε ί η. **9.** Λακεδαιμόνιοι νομίσματι ἐχρῶντο σκυτίνῳ· εἰ δὲ παρά τινι ε ὑ ρ ε θ ε ί η[16]) χρυσὸς ἢ ἄργυρος, θανάτῳ ἐζημιοῦτο. **10.** Λόγος τίς ἐστι, Ῥοδίους ὑ σ θ ῆ ν α ι χρυσῷ, χρυσῆν ἐπ᾽ αὐτοὺς τοῦ Διὸς[17]) νεφέλην ῥήξαντος[17]). **11.** Δίκαιον[18]) δ ι α ν ο η θ ῆ ν α ι, ὅτι, εἴπερ ἡ ψυχὴ ἀθάνατος[18]), ἐπιμελείας δὴ δεῖται, οὐχ ὑπὲρ τοῦ χρό-

---

1) v. *ἐφικνέομαι*. 2) 1. pl. praes. ind. v. *δύναμαι*. 3) gen. comp. *in Vergleich mit welcher*; im Deutsch. besser ohne Negat. bei d. rel. den nom. und bei dem adject. den superl. 4) mit *wenn*, v. *ἐπιλαμβάνω*. 5) acc. 6) sc. *ἐστίν*. 7) wodurch? 8) *dass — zu Grunde gehe*, v. *ἀπόλλυμι*. 9) gen. part., durch *von*. 10) *ἐπ* ist die apostrophirte praep.; woraus ist *η* entstanden? 11) *τὸ* gehört zu *ἐπιμελεῖσθαι*, im Deutschen steht der inf. mit *zu*; s. XIII, b, 45, 1. 12) 2. sg. conj. aor. 2. v. *γιγνώσκω*. Die im Griech. vereinigten Construktionen des Relativsatzes und des acc. c. inf. müssen im Deutschen getrennt übersetzt werden: *für alles, wovon man erkannt hat, dass es*. 13) s. XIV, a, 11, 5. 14) s. *ἄν*, 1. 15) s. *ἄν*, 3. 16) v. *εὑρίσκω*. 17) gen. absol., v. *ῥήγνυμι*, mit *indem*. 18) sc. *ἐστί*.

νου τούτου μόνου, ἐν ᾧ καλοῦμεν τὸ ζῆν, ἀλλ' ὑπὲρ τοῦ παντός[1]). **12.** Οὐ τὸ[2]) μὴ λαβεῖν[3]) τὰ ἀγαθὰ οὕτω χαλεπόν, ὥςπερ τὸ[2]) λαβόντα[4]) στερηθῆναι[5]) λυπηρόν. **13.** Ἀνάγκη τὸ συμπλασθὲν[6]) ἐκ γῆς καὶ ὕδατος διαλυθῆναι[6]) πάλιν εἰς αὐτά. **14.** Πιττακὸς ἀδικηθεὶς[7]) ὑπό τινος καὶ ἔχων[7]) ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν[8]) εἰπών[9]). Συγγνώμη τιμωρίας[10]) ἀμείνων. **15.** Οὐδεὶς οὕτω ἐστὶν ἀδύνατος, ὡς προπηλακισθεὶς[11]) μὴ δύνασθαι[12]) ἑαυτὸν ἐκδικῆσαι. **16.** Δῆλος ἐκινήθη[13]) ὀλίγῳ πρὸ τοῦ Πελοποννησιακοῦ πολέμου, πρότερον οὐ σεισθεῖσα[14]). **17.** Ἀντιγόνη, μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους σῶμα ἔθαψε, καὶ φωραθεῖσα[15]) ὑπὸ Κρέοντος αὐτὴ τῷ τάφῳ ζῶσα[16]) ἐνεκρύφθη[17]). **18.** Πόνου[18]) μεταλλαχθέντος[18]) οἱ πόνοι γλυκεῖς[19]). **19.** Ἄριστον[20]) ἀνθρώπῳ τὸν βίον διάγειν ὡς πλεῖστα[21]) εὐθυμηθέντι[22]) καὶ ἐλάχιστα ἀνιαθέντι[22])· τοῦτο δ' ἂν[23]) εἴη[24]), εἴ τις μὴ ἐπὶ[25]) τοῖς θνητοῖς[26]) τὰς ἡδονὰς ποιοῖτο. **20.** Οἱ μὲν βιασθέντες ὡς ἀφαιρεθέντες μισοῦσιν, οἱ δὲ πεισθέντες ὡς κεχαρισμένοι[27]) φιλοῦσιν.

21. Σχολαστικὸς κολυμβᾶν βουλόμενος[28]) παρὰ μικρὸν[29]) ἐπνίγη[30]). ὤμοσεν[31]) οὖν μὴ ἅψασθαι ὕδατος, ἐὰν μὴ

---

1) sc. χρόνου. 2) s. XIII, b, 45, 1; man verbinde: οὐχ οὕτ. χαλ. (ἐστί) τὸ μὴ λαβ. τὰ ἀγ. ὥςπερ λυπ. (ἐστί) τὸ λαβ. στ. 3) v. λαμβάνω. 4) mit *wenn man;* zu ergänzen ist τὰ ἀγαθά. 5) τῶν ἀγαθῶν. 6) acc. c. inf. 7) mit *als.* 8) v. ἀφίημι. 9) mit *indem.* 10) gen. comparat. 11) mit *wenn.* 12) inf. praes. v. δύναμαι. 13) nämlich durch ein Erdbeben. 14) mit *nachdem.* 15) mit *da.* 16) v. ζάω. 17) da ἐν praep. ist und nach dem Wegfallen vor κ zu stehen kommt, in welchen Buchstaben verwandelt sich dadurch ν? 18) gen. absol. mit *wenn.* 19) sc. εἰσίν. 20) sc. ἐστίν. 21) s. ὡς. 22) im Griech. stehen Prädikate beim inf. auch im dat., wenn das Wort im regierenden Satz, worauf sie sich beziehen, im dat. steht; hier ἀνθρώπῳ. 23) s. ἄν, 3. 24) 3. sg. opt. praes. v. εἰμί, 25) woran? 26) neutr. 27) part. perf. v. χαρίζομαι. 28) part. praes. v. βούλομαι, mit *als.* 29) s. παρά. 30) im Deutschen den conj. plusqprf. 31) v. ὄμνυμι.

πρῶτον μάθῃ[1]) κολυμβᾶν. **22.** Ἥφαιστος ἐρρίφη ὑπὸ τοῦ Διὸς ἐξ οὐρανοῦ, ὅθεν χωλὸς ἐγένετο[2]). **23.** Πλάτων ἐτάφη[3]) ἐν τῇ Ἀκαδημίᾳ, ἔνθα τὸν πλεῖστον χρόνον διετέλεσε φιλοσοφῶν. **24.** Ἐν καλῇ πολιτείᾳ ἐτράφησαν[4]) οἱ ἐν Μαραθῶνι ἀποθανόντες[5]). **25.** Διογένης ἰδὼν[6]) τοξότην ἀφυῆ παρὰ τὸν σκοπὸν ἐκάθισεν εἰπών[7]), Ἵνα μὴ πληγῶ. **26.** Οὐ δύναται[8]) ἡ φύσις καταμανθάνειν τὸ βέλτιον, ὅταν ἐντραφῇ τοῖς χείροσιν[9]). **27.** Σοφοκλῆς ὁ τραγῳδοποιὸς ῥᾶγα σταφυλῆς καταπιὼν[10]) ἀποπνιγῆναι λέγεται. **28.** Οἱ κόρακες τοὺς ἐκτραφέντας νεοττοὺς ἐκ τῆς καλιᾶς ἐκβάλλουσιν.

29. Ὃ μέλλεις πράττειν, μὴ πρόλεγε· ἀποτυχὼν[11]) γὰρ γελασθήσῃ. **30.** Πλάτων ἐρωτηθείς, πόσην δεῖ[12]) οὐσίαν ἔχειν, εἶπεν, Ὅσην ἔχων[13]) οὔτ' ἐπιβουλευθήσῃ, οὔτε τῶν ἀναγκαίων[14]) ἀπορήσεις. **31.** Ὥσπερ τὸ σῶμα στερηθὲν[15]) ψυχῆς πίπτει, οὕτω καὶ ἡ πόλις, μὴ ὄντων[16]) νόμων[16]), καταλυθήσεται.

32. Οὐκ, ἄν[17]) τις εἴπῃ πολλά, θαυμασθήσεται,
Ὁ μικρὰ δ' εἰπὼν μᾶλλον, ἄν[17]) ᾖ[18]) χρήσιμα.

33. Οὐχ οἷόν τε μεθυσθήσεσθαι τὸν νοῦν ἔχοντα. **34.** Ἀφορίας[19]) ποτὲ τὴν Ἑλλάδα κατεχούσης[19]) χρησμοὶ θεῶν ἔλεγον ἀπαλλαγήσεσθαι τῶν ἐνεστώτων[20]) κακῶν τὴν Ἑλλάδα, ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς εὐχὰς ποιήσηται. ποιησαμένου[19]) δὲ εὐχὰς Αἰακοῦ[19]) τῆς ἀκαρπίας ἡ Ἑλλὰς ἀπαλλάττεται[21]). **35.** Σωκράτης ἐρωτηθείς, διὰ τί οὐ συγ-

---

1) v. μανθάνω. 2) v. γίγνομαι. 3) das praes. beginnt mit θ. 4) das praes. hat in der Stammsilbe ein ε. 5) v. ἀποθνήσκω, s. XIII, a, 28, 15. 6) part. v. ὁράω, mit *als*. 7) mit *indem*. 8) 3. sg. v. δύναμαι. 9) neutr. 10) part. v. καταπίνω, mit *dadurch dass*. 11) part. v. ἀποτυγχάνω, mit *wenn*. 12) s. VIII, 24, 20. 13) Statt dieser Wendung mit dem part. u. dem rel. steht im Deutschen das demonstr. mit daß: *soviel, dass*. 14) welches genus? 15) mit *wenn*. 16) gen. absol. v. ὤν, mit *wenn*. 17) s. ἄν, 1. 18) conj. v. εἰμί. 19) gen. absol. mit *als*. 20) gen. pl. part. perf. v. ἐνίστημι, *bestehend*. 21) praes. histor., im Deutschen das imperf.

γράφει[1]), Ὅτι, εἶπεν, ὁρῶ[2]) τὰ χαρτία πολὺ τῶν γραφησομένων[3]) τιμιώτερα.

36. Οὔτε ἐξ ἱεροῦ βωμόν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον. **37.** Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον. **38.** Τῷ βουλομένῳ εὐδαίμονι[4]) εἶναι σωφροσύνην διωκτέον καὶ ἀσκητέον. **39.** Στρατιώταις νυκτὸς πορευομένοις[5]) ἥ τε σιωπὴ ἀσκητέα καὶ ἡ τάξις διαφυλακτέα. **40.** Εἰ ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἰ δὲ ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον. **41.** Οὐ τὸ ζῆν περὶ πλείστου[6]) ποιητέον, ἀλλὰ τὸ[7]) εὖ ζῆν. **42.** Μετ᾽ ὀργῆς πρακτέον τοῖς φρονίμοις οὐδέν· ἀλόγιστος γὰρ θυμὸς καὶ μετὰ προνοίας οὐδὲν ἄν[8]) ποτε ποιήσειεν. **43.** Οὐδενὶ φθονητέον· ἀγαθοὶ μὲν γὰρ ἄξιοι. κακοὶ δέ, ἂν εὐτυχῶσι, κακῶς ζῶσιν. **44.** Ὁρῶντες[9]) τὰ ὁρατὰ[10]) καὶ ἀκούοντες[9]) τὰ ἀκουστὰ[10]) γιγνώσκομεν. **45.** Τὰ μὲν μαθητὰ[11]) μάνθανε, τὰ δὲ εὑρετὰ[12]) ζήτει, τὰ δὲ εὐκτὰ[13]) παρὰ θεοῦ αἴτησαι.

e. Perf. Plusqprf. Fut. III.

1. Θεόφραστος πρὸς τὸν[14]) ἐν τῷ συμποσίῳ σιωπῶντα τὸ ὅλον ἔφη, Εἰ μὲν ἀμαθὴς εἶ[15]), φρονίμως ποιεῖς, εἰ δὲ πεπαίδευσαι, ἀφρόνως. **2.** Ὁ τῆς φύσεως πλοῦτος καὶ ὥρισται καὶ εὐπόριστός ἐστιν, ὁ δὲ τῶν κενῶν δοξῶν εἰς ἄπειρον ἐκπίπτει. **3.** Ἐπὶ τῆς κολακείας, ὥσπερ ἐπὶ μνήματος, αὐτὸ μόνον τὸ ὄνομα τῆς φιλίας ἐπιγέγραπται. **4.** Οἷς[16]) ὁ τρόπος ἐστὶν εὔτακτος, τούτοις[16]) καὶ βίος συν-

---

1) s. VIII, 24, 20. 2) im Deutschen steht nach *sehen* ein Satz mit *dass*. 3) gen. comp. neutr. *als dasjenige, was*. 4) s. XIV, d, 19, 22. 5) mit *welche*. 6) s. unter ποιέω. 7) s. XIII, b, 45, 1. 8) s. ἄν, 3. 9) im Deutschen den inf. mit *durch*. 10) abhängig von γιγνώσκομεν. 11) v. μανθάνω. 12) v. εὑρίσκω. 13) v. εὔχομαι. 14) *Jemand, welcher*. 15) 2. sg. ind. v. εἰμί. 16) den dat. durch *bei*.

τέτακται. **5.** *Τὰ χρήματα τοῖς πλουσίοις ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικεν.* **6.** *Ὁ σπουδαῖος ἐν ἑαυτῷ ἔχει τὸ ἀγαθὸν καὶ τὴν θείαν ἀρετήν, δι' ὃ καὶ πάσης ἀπήλλακται*[1] *κακίας καὶ βλάβης.* **7.** *Εὐριπίδης ἐν Μακεδονίᾳ τέθαπται.* **8.** *Ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον.*

9. *Οὐδέν με λυπεῖ μᾶλλον ἢ χρηστὸς τρόπος,*
Εἰς χαλεπὸν[2] *ὅταν ᾖ συγκεκλεισμένος βίον.*

10. *Φίλων παρόντων*[3] *καὶ ἀπόντων*[3] *μέμνησο*[4]. **11.** *Πεφύλαξο τοιαῦτα ποιεῖν, ὁπόσα μέμψιν εὔλογον ἔχει παρὰ τῶν πολλῶν.* **12.** *Οἱ Πυθαγορικοὶ ἔλεγον, ἐνδεδέσθαι τῷ σώματι τὰς ἀνθρώπων ψυχὰς τιμωρίας χάριν.* **13.** *Ὅταν τὸ δίκαιον ἡττᾶται*[5] *τοῦ φθόνου, πάντα*[6] *χρὴ νομίζειν ἐστράφθαι*[6]. **14.** *Ἀριστοτέλης ἐρωτηθείς, τί τῶν ζῴων κάλλιστον, ἔφη, Ἄνθρωπος τὴν ψυχὴν*[7] *παιδείᾳ κεκοσμημένος*[8]. **15.** *Ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος*[9] *ὡς*[10] *πόλις ὀχυρὰ καὶ ὑψηλή· ἰσχύει δὲ ὥςπερ τεθεμελιωμένον βασίλειον.* **16.** *Ἡ ἀλήθεια δάκνει ψυχὴν νοσοῦσαν, ὥςπερ καὶ μέλι σῶμα τετραυματισμένον.* **17.** *Λακεδαιμόνιοι ἐμάχοντο ἐστεφανωμένοι.* **18.** *Οἱ τετυφωμένοι ἀλαζόνες γίγνονται.* **19.** *Τῶν πλειόνων*[11] *καὶ ἄμεινον παρεσκευασμένων*[11] *τὸ κράτος ἐστίν.* **20.** *Τῆς ἀλαζονείας*[12] *καθάπερ τῶν κεχρυσωμένων ὅπλων*[12] *οὐχ ὅμοιά ἐστι τὰ ἐντὸς τοῖς ἐκτός.* **21.** *Οἱ τῶν Αἰθιόπων βασιλεῖς ἐχρῶντο πίλοις μακροῖς, ἐπὶ τοῦ πέρατος ὀμφαλὸν ἔχουσι*[13] *καὶ περιεσπειραμένοις*[13] *ὄφεσιν*[14], *οὓς ἐκάλουν ἀσπίδας.* **22.** *Μεταμέλειά ἐστι λύπη ἐπὶ πεπραγ-*

---

1) *η* ist durch das Augment aus *α* entstanden. 2) dazu gehört *βίον*. 3) mit *wenn*. 4) v. *μιμνήσκω*. 5) welcher Modus? 6) acc. c. inf. (v. *στρέφω*) abhängig von *νομίζειν*. 7) woran? 8) mit *welcher*; doch steht besser die Wendung *dessen Seele* u. s. w. 9) mit *welcher*. 10) vor *ὡς* ergänze *ἐστίν*. 11) den gen. durch *auf Seite*. 12) den gen. durch *bei*. 13) mit *welche*. 14) womit? *περιεσπ.* gehört zu *πίλοις*.

μένοις[1]) ὡς[2]) παρ' αὐτοῦ[3]) ἡμαρτημένοις[4]), στασιῶδές τι πάθος ψυχῆς. **23.** Οἱ Ἰχθυοφάγοι τοὺς τελευτήσαντας ἔθαπτον κατὰ μὲν τὸν τῆς ἀμπώτεως καιρὸν ἐῶντες[5]) ἐρριμμένους, ὅτε δ' ἡ πλημμυρὶς ἐπέλθοι[6]), ἔρριπτον εἰς τὴν θάλασσαν τὰ σώματα. **24.** Ἔθος ἦν Ἀθηναίοις θάπτειν τοὺς νεκροὺς πρὸς ἀνατολὰς ἐστραμμένους[7]).

25. Τοῦ Διονυσίου[8]) λέγοντος[8]) πρὸς Ἀρίστιππον· Οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ· Ἀληθῆ λέγεις, εἶπεν, εἰ γὰρ ὠφέλησο[9]), ἐπέπαυσο ἂν[9]) τῆς τυραννίδος. **26.** Πλάτων πρός τινα τῶν παίδων, Μεμαστίγωσο[10]) ἄν[9]), ἔφη, εἰ μὴ ὠργιζόμην[9]). **27.** Ἐν τοῖς Δράκοντος νόμοις μία ἅπασιν ὥριστο τοῖς ἁμαρτάνουσι ζημία, θάνατος. **28.** Πωλεῖν γῆν τοῖς Λακεδαιμονίοις αἰσχρὸν ἐνενόμιστο. **29.** Ἡ Οἰνόη, οὖσα[11]) ἐν μεθορίοις τῆς Ἀττικῆς καὶ Βοιωτίας, ἐτετείχιστο, καὶ αὐτῷ φρουρίῳ[12]) οἱ Ἀθηναῖοι ἐχρῶντο. **30.** Ἀπόλλων βουκολῶν[13]) χρυσῆν ῥάβδον ἐκέκτητο. **31.** Ἀγησίλαος εἴθιστο[14]) φοβούμενος[15]) μὲν ἱλαρὸς φαίνεσθαι, εὐτυχῶν[15]) δὲ πρᾷος εἶναι. **32.** Οὐδεὶς ἔχων[16]) τὴν κακίαν, πρὸς ἀρετὴν τέτραπται· εἰ γὰρ προσετέτραπτο[9]), καὶ ἀπὸ τῆς κακίας ἂν ἀπετέτραπτο[9]). **33.** Σαρδολίβυες οὐδὲν ἐκέκτηντο σκεῦος ἔξω κύλικος καὶ μαχαίρας.

34. Κακὸς οὐ κεκλήσῃ[17]) βίον εὖ κυρήσας[18]). **35.** Κάλλιστον τοῦτο καὶ λέγεται καὶ λελέξεται, ὅτι τὸ μὲν ὠφέλιμον καλόν, τὸ δὲ βλαβερὸν αἰσχρόν. **36.** Ἐν πολέμῳ ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί. **37.** Φράσον, ὅ,τι με δεῖ ποιῆσαι, καὶ πεπράξεται.

---

1) neutr. 2) *als;* im Deutschen ist *etwas* darnach einzusetzen. 3) αὐτός geht hier nicht auf eine bestimmte Person; daher im Deutschen: *von uns selbst.* 4) v. ἁμαρτάνω. 5) mit *indem;* ergänze αὐτούς. 6) v. ἐπέρχομαι. 7) v. στρέφω. 8) gen. absol., mit *als.* 9) s. ἄν, 4. 10) bei dem plusqpf. kann das Augment vor der Reduplikation fehlen. 11) v. ὤν. 12) als was? 13) mit *als.* 14) ει ist Augment. 15) mit *wenn;* s. XIII, a, 19, 5. 16) mit *welcher.* 17) v. καλέω. 18) mit *wenn*·

38. Ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῄει [1]. φθεγξαμένων [2]) δὲ κοράκων [2]), τὰ ὅπλα θεὶς [3]) ἡσύχαζεν. εἶτα ἀναλαβὼν [4]) αὖθις ἐξῄει, καὶ φθεγγομένων [5]) πάλιν ὑπέστη [6]) καὶ τέλος εἶπεν, Ὑμεῖς κεκράξεσθε μὲν μέγιστον [7]) ὡς δυνατόν, ἐμοῦ δὲ οὐ γεύσεσθε. **39.** Οὐκ, ἐπειδὰν ἡμεῖς τελευτήσωμεν, οἱ λόγοι οἱ περὶ ἡμῶν σεσιγήσονται.

XV.

Verba liquida.

a. Activum und Medium.

1. Ἐὰν μὴ φυλάσσῃς τὰ μικρά, ἀποβαλεῖς τὰ μεγάλα. **2.** Οὗτος μάλιστα πάντων φιλοπάτωρ ἐστίν, ὅστις μηδὲν λυπήσει τὸν πατέρα, καὶ πλεῖστα εὐφρανεῖ. **3.** Ὁμονοοῦντες ἰσχυροὶ διαμενοῦμεν. **4.** Ὅρκος ἦν τοῖς Ἀθηναίοις, μήτε τὰ ἱερὰ ὅπλα καταισχυνεῖν, μήτε τὴν τάξιν λείψειν, ἀμυνεῖν δὲ τῇ πατρίδι καὶ ἀμείνω παραδώσειν [8]). **5.** Τὸν κατηγορήσοντα [9]) τῶν ἄλλων καὶ πάντας κρινοῦντα [9]) αὐτὸν ἀνεξέλεγκτον ὑπάρχειν δεῖ.

6. Οὐκ αἰσχυνεῖται ὁ σώφρων παρ' ἄλλου τὰ συμφέροντα μανθάνων [10]). **7.** Τοὺς πολεμίους ἀμυνόμενοι [11]) ἐλευθέραν τὴν πατρῴαν γῆν νεμούμεθα. **8.** Ὑπὸ πολλοῦ οἴνου ταχὺ ἡμῖν καὶ τὰ σώματα καὶ αἱ γνῶμαι σφαλοῦνται [12]). **9.** Γοργίας πρὸς ἅπαντα ἔφη ἀποκρινεῖσθαι.

10. Ἐξ οὗ [13]) φιλοσοφεῖν ἐπενόησας, σεμνός τις ἐγένου [14]) καὶ τὰς ὀφρῦς ὑπὲρ τοὺς κροτάφους ἐπῆρας [15]). **11.** Σωκράτης λοιδορούμενος [16]) οὐκ ἐχαλέπηνεν, οὐδὲ ἐν θεάτρῳ

---

1) impf. v. ἔξειμι. 2) gen. absol. mit *als*. 3) part. aor. 2. v. τίθημι, *legte er nieder und*. 4) v. ἀναλαμβάνω, mit *und*. 5) sc. κοράκων, gen. absol. 6) *hielt er an*, aor. 2. v. ὑφίστημι, stelle darunter. 7) paßt *gross* vom Schreien? 8) v. παραδίδωμι. 9) *derjenige, welcher — will*. 10) mit *wenn* oder *dass*; weniger genau durch den inf. — Unterschied zwischen αἰσχύνομαι ποιῶν u. αἰσχ. ποιεῖν. 11) mit *wenn* oder *dadurch dass*. 12) fut. med. statt des fut. pass. 13) s. ἐξ. 14) v. γίγνομαι. 15) η durch das Augment aus α, und dieses aus αι. 16) mit *wenn*.

λοιδορηθεὶς[1]) ἠγανάκτει. **12.** Θησεὺς μετὰ τὴν Αἰγέως τελευτὴν συνοικίσας[2]) τοὺς τὴν Ἀττικὴν κατοικοῦντας εἰς ἓν ἄστυ, ἕνα δῆμον ἀπέφηνεν. **13.** Θησεὺς ἐκάθηρε τῶν κακούργων τὴν ὁδὸν τὴν εἰς Ἀθήνας ἐκ Τροιζῆνος φέρουσαν. **14.** Θησεὺς Ἀριάδνην συνεργὸν λαβών[3]), τόν τε Μινώταυρον ἀπέκτεινε καὶ τὴν ἔξοδον τὴν τοῦ λαβυρίνθου παρ᾽ αὐτῆς μαθὼν[4]) διεσώθη. **15.** Κράτης Θηβαῖος ἐξαργυρισάμενος[2]) τὴν οὐσίαν τοῖς πολίταις διένειμεν. **16.** Οἱ τριάκοντα πολλοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτειναν, πολλοὺς δὲ χρημάτων[5]). **17.** Πάντες οἱ παλαιοὶ τὰ[6]) περὶ τῶν θεῶν καὶ δαιμόνων δι᾽ αἰνιγμάτων ἐσήμηναν. **18.** Οἱ Λακεδαιμόνιοι τὴν τῆς παλαιᾶς διαίτης σκληρότητα καταλύσαντες[1]) ἐξώκειλαν εἰς τρυφήν.

19. Θνητῶν δὲ[7]) μηδεὶς μηδέν᾽[8]) ὄλβιόν ποτε
Κρίνῃ[9]), πρὶν αὐτὸν εὖ τελευτήσαντ᾽ ἴδῃ[10]).

20. Εἴ τις κατ᾽ Αἴγυπτον ἑκουσίως ἀποκτείνειεν ἐλεύθερον ἢ δοῦλον, ἀποθνήσκειν[11]) τοῦτον[11]) οἱ νόμοι προσέταττον. **21.** Ἐρομένου[12]) τινός[12]), Ὁποῖα νομίζεις εἶναι τὰ[13]) ἐν Ἅιδου[14]); Περίμεινον, ἔφη Δημῶναξ, κἀκεῖθέν[15]) σοι ἐπιστελῶ. **22.** Ξενοκράτης, χρημάτων[16]) αὐτῷ κομισθέντων[16]) ἀπ᾽ Ἀλεξάνδρου, ἑστιάσας[17]) τοὺς κομίζοντας τὸν αὑτοῦ τρόπον[18]), Ἀπαγγείλατε, ἔφη, Ἀλεξάνδρῳ, ἔστ᾽ ἂν οὕτω ζῶ, οὐ δέομαι ταλάντων πεντήκοντα. τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα. **23.** Οὔτε πῦρ ἱματίῳ[19]) περιστεῖλαι δυνατόν, οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ[19]).

---

1) mit *als*. Warum hier den aor. und vorher das part. praes.? — Bemerke auch den aor. und das imperf. bei den verbis finitis. 2) mit *und*. 3) mit *und*, v. λαμβάνω. 4) mit *da*, v. μανθάνω. 5) sc. ἕνεκα. 6) *das, was zu sagen war*; vgl. X, 9, 10. 7) Hat nur im Zusammenhang Bedeutung, und braucht daher nicht übersetzt zu werden. 8) s. VIII, 30, 13. 9) s. XIII, d, 16, 4. 10) v. ὁράω. 11) acc. c. inf. *dass — solle* (oder den conj. des verb.) 12) gen. absol. mit *als*, v. ἠρόμην. 13) *die Zustände*; vgl. X, 9, 10. 14) s. XIV, b, 11, 1. 15) aus καὶ ἐκεῖθεν. 16) gen. absol. mit *als*. 17) mit *und*. 18) d. acc. durch *auf*. 19) wodurch?

24. Κρεῖττόν ἐστι μικρόν τι εὖ, ἢ πολλὰ μὴ ἱκανῶς περᾶναι. 25. Σωκράτης γεωμετρίαν μέχρι τούτου ἔφη δεῖν μανθάνειν, ἕως ἱκανός τις γένοιτο[1]) γῆν[2]) μέτρῳ[3]) ὀρθῶς διανεῖμαι. 26. Λυκοῦργος ὁ Θρᾴκης βασιλεὺς παραγγείλας[4]) τοῖς στρατιώταις νυκτὸς ἐπιθέσθαι[5]) ταῖς Μαινάσι, πάσας ἀπέκτεινε· Διόνυσος δὲ τὸν Λυκοῦργον ζωγρήσας[4]) ἐτύφλωσέ τε καὶ ἀνεσταύρωσεν. 27. Ἑρμῆς χελώνην ἐκκαθήρας[6]) καὶ εἰς τὸ κύτος χορδὰς ἐντείνας[6]) εἰργάσατο λύραν. 28. Τειρεσίαν τυφλὸν γενόμενον[7]) Ἀθηνᾶ, τὰς ὁράσεις ἀποκαταστῆσαι[8]) μὴ δυναμένη[9]), τὰς ἀκοὰς διακαθήρασα[10]) πᾶσαν ὀρνίθων φωνὴν ἐποίησε συνιέναι[11]). 29. Οὐκ ἔστι φυλακὴ καθευδόντων[12]), οὐδὲ νίκη φευγόντων[12]), οὐδὲ θερίσαι[13]) μὴ σπειράντων[14]) τὴν ἀγαθὴν γῆν καὶ καθαράν.

30. Πολλάκις τὸ ἔλαττον πλῆθος ἠμύνατο τοὺς πλείονας. 31. Ἀπεφήναντο οἱ Αἰθίοπες ὁρᾶσθαι[15]) κατὰ τὴν χώραν αὑτῶν ὄφεις[15]) τηλικούτους τὸ μέγεθος, ὥστε μὴ μόνον βοῦς τε καὶ ταύρους ἀναλίσκειν, ἀλλὰ καὶ τοῖς ἐλέφασιν εἰς ἀλκὴν συνίστασθαι[16]). 32. Κίμβροι πολλὰς καὶ μεγάλας Ῥωμαίων δυνάμεις κατέκοψαν καὶ μυριάσι[17]) τεσσαράκοντα τὴν ἐπὶ τὴν Ἰταλίαν στρατείαν ἐστείλαντο. 33. Ἀπόκριναι διὰ βραχέων[18]) τε καὶ αὐτὰ τὰ ἐρωτώμενα. 34. Παρ᾽ Ἰνδοῖς τὸν μέγιστα ἀδικήσαντα ὁ βασιλεὺς ἐκέλευε κείρασθαι, ὡς ἐσχάτης οὔσης[19]) ταύτης ἀτιμίας[19]). 35. Σόν[20]) ἐστι τὸ δοθὲν[21]) πρόσωπον ὑποκρίνασθαι καλῶς, ἐκλέξασθαι δὲ τὸ πρόσωπον, ἄλλου[22]). 36. Μίλων ὁ ἐκ Κρότωνος ἀθλητὴς ταῦρον ἀράμενος[23]) ἔφερε διὰ

---

1) v. γίγνομαι. 2) die Erde? 3) womit? 4) mit *und*. 5) v. ἐπιτίθημι. 6) mit *indem*. 7) v. γίγνομαι. 8) v. ἀποκαθίστημι. 9) part. praes. v. δύναμαι, mit *da*. 10) mit *und;* der acc. Τειρεσίαν, der von ἐποίησε abhängt, muß dabei als dat. zu διακαθ. genommen werden. 11) inf. praes. v. συνίημι. 12) den gen. durch *bei*. 13) im Deutschen das subst. 14) *bei denen, welche*. 15) acc. c. inf. 16) inf. praes. med. v. συνίστημι. 17) durch *mit*. 18) s. διά. 19) gen. absol. *weil dies — war*. 20) wie das lat. tuum est. 21) part. aor. pass. v. δίδωμι. 22) wie das lat. alīus est. 23) mit *und;* das erste α aus αι.

τοῦ σταδίου μέσου[1]). **37.** Ἀράχνια λεπτὰ ὑφάσματα ὑφηνάμενα[2]), ὅ,τι ἂν[3]) ἐνταῦθα ἐμπέσῃ[4]), τούτῳ τροφῇ[5]) χρῆται.

38. Σχολαστικὸς θέλων[6]) τὸν ἵππον αὑτοῦ διδάξαι[7]) μὴ τρώγειν πολλά, οὐ παρέβαλεν αὐτῷ τροφάς· ἀποθανόντος[8]) δὲ τοῦ ἵππου[8]) τῷ λιμῷ ἔλεγε: Μέγα[9]) ἐζημιώθην· ὅτε γὰρ ἔμαθε μὴ τρώγειν, τότε ἀπέθανεν. **39.** Ἡρακλῆς τὸ ῥόπαλον, ὃ ἐφόρει, ἔτεμεν[10]) ἐκ Νεμέας. **40.** Εἴ τις τὸν τῆς εὐκλείας ἔρωτα ἐκβάλοι ἐκ τοῦ βίου, τίς ἂν[11]) ἔτι λαμπρόν τι ἐργάσασθαι ἐπιθυμήσειεν; **41.** Οὐκ ἂν[11]) δύναιο[12]) μὴ[13]) καμὼν[13]) εὐδαιμονεῖν.

42. Περικλῆς θνήσκων, Οὐδείς, ἔφη, δι' ἐμὲ μέλαν ἱμάτιον περιεβάλετο. **43.** Πρὸς εὐδαιμονίαν οὐδὲν ἂν[11]) συμβάλοιτο τηλικαύτην δύναμιν, ὅσην περ ἀρετὴ καὶ τὰ μέρη ταύτης. **44.** Τὴν φιλολογίαν[14]) μὴ μικρὸν ἡγεῖσθε συμβαλέσθαι[14]) μέρος πρὸς τὴν τῶν λόγων παιδείαν.

45. Τὸν σώφρονα βίον τοῦ ἀκολάστου[15]) ἡδίω κέκρικα. **46.** Δεῖ, ὥσπερ εὐνομουμένης[16]) τῆς πόλεως[16]) φυγαδεύειν[17]) στασιαστὴν ἄνθρωπον, οὕτως ἐκ τῆς σωθησομένης[18]) ψυχῆς τὸν πρὸς τὰ φαῦλα κεκλικότα νοῦν. **47.** Σόλων Κροῖσον ὑπ' εὐτυχίας διεφθορότα[19]) τὸ τέλος ὁρᾶν ἐκέλευσεν. **48.** Οἱ πρὸς τὴν δόξαν κεχηνότες[20]) σπανίως ἔνδοξοι γίγνονται. **49.** Σινδοὶ τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπέβαλλον, ὅσους πολεμίους ὁ θαπτόμενος[21]) ἀποκτόνως[22]) εἴη[23]).

---

1) nicht *mitten durch*, sondern *durch die halbe*, *bis über die Mitte*. 2) mit *und*. 3) s. ἄν, 2. 4) v. ἐμπίπτω. 5) als was? 6) mit *welcher*; s. XIII, a, 19, 5. 7) v. διδάσκω. 8) gen. absol. v. ἀποθνήσκω, mit *als*. 9) *schwer*. 10) v. τέμνω. 11) s. ἄν, 3. 12) 2. sg. praes. opt. v. δύναμαι. 13) durch *ohne zu*, v. κάμνω. 14) acc. c. inf. 15) gen. comp. 16) gen. absol. mit *wenn*. 17) sc. δεῖ. 18) v. σώζω, *welche — soll*. 19) v. διαφθείρω. 20) v. χαίνω. 21) das part. praes. hier als part. für das imperf.; vgl. XIII, a, 19, 5, *derjenige*, *welcher — wurde*. 22) v. ἀποκτείνω. 23) s. XIII, a, 19, 10.

b) Passivum.

1. Ἐκ[1]) διαβολῆς καὶ φθόνου ψεῦδος ἐπ᾽ ὀλίγον[2]) ἰσχῦσαν[3]) ἀπεμαράνθη[4]). 2. Ἀναξαγόρας ἀσεβείας[5]) ἐκρίθη, διότι τὸν ἥλιον μύδρον ἔλεγε διάπυρον· ἀπολογησαμένου[6]) δὲ ὑπὲρ αὐτοῦ Περικλέους[6]) τοῦ μαθητοῦ, πέντε ταλάντοις ἐζημιώθη καὶ ἐφυγαδεύθη.

3. Οὐ χρή ποτ᾽ εὖ πράσσοντος ὀλβίσαι τύχας
Ἀνδρός[7]), πρὶν αὐτῷ παντελῶς ἤδη βίος
Διεκπερανθῇ, καὶ τελευτήσῃ βίον.

4. Κράτιστοι ἂν[8]) τὴν ψυχὴν[9]) δικαίως κριθεῖεν οἱ[10]) τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. 5. Ἐκταθεὶς[11]) Ὀδυσσεὺς καθεύδων ἀφίκετο[12]) εἰς τὴν Ἑλλάδα. 6. Τῆς τῶν παίδων τελευτῆς[13]) προςαγγελθείσης[13]) Ἀναξαγόρᾳ, εἶπεν, Ἤιδειν[14]) αὐτοὺς θνητοὺς γεννήσας.

7. Μαρσύας, διαμιλληθεὶς[15]) Ἀπόλλωνι περὶ μουσικῆς καὶ νικηθείς[15]), ἐδάρη εἰς τιμωρίαν. 8. Λακεδαιμόνιοι ἐσφάλησαν ἐν τῇ ἐν Λεύκτροις μάχῃ. 9. Ὅταν ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ[16]), ταὐτὰ πάσχει ὁ ἄνθρωπος τοῖς ἅρμασι[17]) τοῖς τοὺς ἡνιόχους ἀποβαλοῦσιν[18]). 10. Χρυσίον, ὅταν πολὺ παραφανῇ, αὐτὸ μὲν ἀτιμότερον γίγνεται, τὸ δὲ ἀργύριον τιμιώτερον ποιεῖ.

11. Ἅπαντές ἐσμεν[19]) εἰς τὸ νουθετεῖν σοφοί,
Αὐτοὶ δ᾽, ὅταν σφαλῶμεν, οὐ γιγνώσκομεν.

12. Λέγεται, τὸν Κινέαν[20]), ἐπεὶ τὴν τῶν Ῥωμαίων ἀρετὴν κατενόησε, τῷ Πύρρῳ εἰπεῖν[20]), ὡς ἡ σύγκλητος αὐτῷ βασι-

---

1) entweder durch den gen., von *Lüge* abhängig, oder durch Umschreibung: *welche ausgeht von.* 2) s. ἐπί. 3) mit *nachdem.* 4) s. XIII, d, 10, 11. 5) durch *wegen.* 6) gen. absol. mit *da.* 7) dazu gehört εὖ πράσσοντος, abhängig von τύχας. 8) s. ἄν, 3. 9) worin? 10) zu γιγνώσκοντες u. ἀποτρεπ., *diejenigen, welche.* 11) v. ἐκτείνω. 12) v. ἀφικνέομαι. 13) gen. absol. mit *als.* 14) s. οἶδα. 15) mit *und.* 16) v. διαφθείρω. 17) XII, 20, 18. 18) warum properispomenon? 19) 1. pl. praes. ind. v. εἰμί. 20) acc. c. inf.

λέων πολλῶν συνέδριον φανείη. **13.** Σωκράτης τὸ[1]) μήτε περὶ θεοὺς ἀσεβῆσαι μήτε περὶ ἀνθρώπους ἄδικος φανῆναι περὶ παντὸς[2]) ἐποιεῖτο. **14.** Κατ᾽ Αἰθιοπίαν ὁ ἥλιος οὐχ ὥσπερ παρ᾽ ἡμῖν βραχὺ πρὸ τῆς ἰδίας ἀνατολῆς προαποστέλλει τὸ φῶς, ἀλλ᾽ ἔτι νυκτὸς[3]) οὔσης[3]) σκοταίου παραδόξως ἄφνω φανεὶς[4]) ἐκλάμπει. **15.** Αἵ τε μεγάλαι φύσεις τὰ μεγάλα κακὰ γεννῶσι διαφθαρεῖσαι[5]), καὶ τὰ κράτιστα ἐπιτηδεύματα πάντων ἐστὶ βλαβερώτατα ἐπὶ τὸ κακὸν ῥέψαντα[6]).

16. Ἅπαντ᾽ ὁ μακρὸς κἀναρίθμητος χρόνος
Ποιεῖ τ᾽ ἄδηλα, καὶ φανέντα κρύπτεται.

17. Κάδμος ἀποκτείνας[4]) δράκοντα, τῆς Ἀρείας κρήνης φύλακα, τοὺς ὀδόντας αὐτοῦ ἔσπειρε· τούτων δὲ σπαρέντων[6]) ἀνέτειλαν ἐκ γῆς ἄνδρες ἔνοπλοι. **18.** Αἰδοῦ σαυτόν, καὶ ἄλλον οὐκ αἰσχυνθήσῃ. **19.** Ἐμπειρίᾳ[7]) τε καὶ φρονήσει καὶ λόγῳ χρὴ κρίνεσθαι τὰ μέλλοντα[8]) καλῶς κριθήσεσθαι. **20.** Ἔοικεν ὁ τοῦ φιλαργύρου βίος νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων[9]) τὸν[10]) εὐφρανθησόμενον οὐκ[10]) ἔχει. **21.** Ἰοβάτης Βελλεροφόντῃ ἐπέταξε τὴν Χίμαιραν κτεῖναι, νομίζων[11]) αὐτὸν διὰ τοῦ θηρίου διαφθαρήσεσθαι. **22.** Πλάτων φθαρτὸν μὲν λέγει τὸν κόσμον, ὅσον[12]) ἐπὶ[12]) τῇ φύσει, οὐ[13]) μὴν φθαρησόμενόν[13]) γε προνοίᾳ[14]) καὶ συνοχῇ θεοῦ.

23. Πολλοῖς οὕτω τὸ δίκαιον κέκριται, τὸν κρείττω[15]) τοῦ ἥττονος ἄρχειν[15]) καὶ πλέον ἔχειν[15]). **24.** Πεποίκιλται ἡ γῆ χρόαις μυρίαις, ὄρεσί τε ὑψηλοῖς, βαθυξύλοις τε δρυμοῖς καὶ πόλεσιν. **25.** Τοῦ ἀριθμοῦ τὸ πεπερασμένον διάστημά ἐστιν ἡ δεκάς· ὁ γὰρ ἐπὶ πλέον ἀριθμεῖν ἐθέλων ἀνακάμπτει πάλιν ἐπὶ τὸ ἓν καὶ δύο καὶ τρία. **26.** Διὰ παν-

---

1) s. XIII, b, 45, 1. 2) s. ποιέω. 3) gen. absol. v. ὤν, mit *während*. 4) mit *und*. 5) mit *wenn*. 6) mit *als*. 7) womit? 8) *dasjenige, was — soll*. 9) mit *obwohl*. 10) *keinen, welcher*. 11) mit *indem*. 12) *so weit es ankommt auf*. 13) durch ein Adjektiv im Gegensatz zu φθαρτόν, wie hieße es wörtlich? 14) wodurch? 15) acc. c. inf.

τὸς τοῦ οὐράνου τεταμένον ἐστὶ φῶς. 27. Τὸ Ἀπόλλωνος τοῦ Πυθίου ξόανον ἐν τῇ Σάμῳ εἶχε, παρεμφερὲς τοῖς Αἰγυπτίοις[1]), τὰς μὲν χεῖρας παρατεταμένας, τὰ δὲ σκέλη διαβεβηκότα[2]). 28. Σαλμωνεὺς βύρσας μὲν ἐξηραμμένας[3]) ἐξ[4]) ἅρματος μετὰ λεβήτων χαλκῶν σύρων[5]) ἔλεγε βροντᾶν[6]), βαλλὼν[5]) δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν[6]).

29. Ζήνων[7]) δοῦλον ἐμαστίγου ἐπὶ κλοπῇ· τοῦ[8]) δὲ εἰπόντος[8])· εἵμαρτό[9]) μοι κλέψαι· Καὶ δαρῆναι[10]), Ζήνων ἔφη. 30. Τὰ ἀνδράποδα ἐσεσήμαντο σημάντρῳ.

XVI.

Gemischte Beispiele.

a. Ind. präs. u. imperf.

1. Τὰ τυγχάνοντα ὅστις εὖ φέρει βροτῶν[11]),
Σόφον νομίζω[12]), σωφρονεῖν τ' ἐμοὶ δοκεῖ.

2. Ἡ ἀρετὴ μᾶλλον ἢ ἡ φυγὴ σώζει τὰς ψυχάς. 3. Εἰρήνη ἀργίαν οὐ τρέφει. 4. Ἅπαντα τῷ φοβουμένῳ ψοφεῖ. 5. Ἐκ πολέμου εἰρήνη βεβαιοῦται. 6. Τὸ μὴ καλῶς λέγειν[13]) κακόν τι ἐμποιεῖ ταῖς ψυχαῖς. 7. Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει. 8. Ἀστρονομία ἀναγκάζει ψυχὴν εἰς τὸ ἄνω ὁρᾶν, καὶ ἀπὸ τῶν ἐνθένδε ἐκεῖσε ἄγει. 9. Ὅστις νεανίας ὢν[14]) Ἄρην στυγεῖ, κόμη μόνον[15]) καὶ σάρκες, ἔργα[15]) δ' οὐδαμοῦ. 10. Ὁ[16]) τοιοῦτος πονηρός ἐστι προστάτης, ὅστις τοῦ παρόντος χρόνου ἐπιμελεῖται, ἀλλὰ μὴ καὶ τοῦ μέλλοντος[17]) προνοεῖται. 11. Οὐκ ἔστιν ἀξιόπιστος ἔπαινος, ὃν[18]) ἐπαινεῖ τις ἕτερον

---

1) sc. ξοάνοις. 2) v. διαβαίνω. 3) v. ξηραίνω. 4) *an.* 5) mit *und.* 6) s. XIV, c. 7, 14. 7) aus Kitium. 8) gen. absol. mit *da; τοῦ* = τούτου. 9) v. μείρομαι. 10) v. δέρω. 11) abhängig von ὅστις. 12) sc. τοῦτον. 13) τὸ λέγειν durch ein subst. μὴ καλῶς durch ein adject. 14) im Deutschen durch *als.* 15) sc. ἐστί. 16) im Deutschen den unbestimmten Artikel. 17) sc. χρόνου. 18) durch *mit.*

διὰ τὸ ἑαυτοῦ συμφέρον. **12.** Ὥςπερ ὁ καπνὸς ἐπιδάκνων[1]) τὰς ὄψεις οὐκ ἐᾷ βλέπειν τὸ κείμενον[2]) ἐν[3]) τοῖς ποσίν, οὕτως ὁ θυμὸς τῷ λογισμῷ ἐπισκοτεῖ. **13.** Τοῖς μὲν διὰ[4]) τοῦ ἡλίου πορευομένοις ἕπεται κατ᾽ ἀνάγκην σκιά, τοῖς δὲ διὰ[4]) τῆς δόξης βαδίζουσιν ἀκολουθεῖ φθόνος. **14.** Βίων ἔλεγε, καταγελάστους εἶναι τοὺς σπουδάζοντας περὶ πλοῦτον, ὃν τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖται. **15.** Ὁ βορέας διικνεῖται εἰς ἅπαντα τόπον τῆς οἰκουμένης καὶ διαμένει ψυχρός. **16.** Δικαιοσύνη καὶ τελευτήσασι δόξαν παρασκευάζει. **17.** Ὁ κακὸς οὔτε κακῷ οὔτε ἀγαθῷ οὐδέποτε[5]) εἰς ἀληθῆ φιλίαν ἔρχεται. **18.** Τὸ λέγειν ὡς δεῖ τοῦ φρονεῖν[6]) εὖ μέγιστον σημεῖον ποιούμεθα. **19.** Αἱ μὲν ἀπορίαι διὰ τὰς ἀργίας γίγνονται, αἱ δὲ κακουργίαι διὰ τὰς ἀπορίας. **20.** Οἱ μὴ εἰδότες[7]) ἑαυτοὺς τῶν τε ἀγαθῶν[8]) ἀποτυγχάνουσι καὶ τοῖς κακοῖς[8]) περιπίπτουσιν. **21.** Ἀμφιςβητοῦσι μὲν καὶ δι᾽ εὔνοιαν οἱ φίλοι τοῖς φίλοις, ἐρίζουσι δὲ οἱ διάφοροί τε καὶ ἐχθροὶ ἀλλήλοις. **22.** Ἀπ᾽ ἐχθρῶν πολλὰ μανθάνουσιν οἱ σοφοί. **23.** Τοῦ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται. **24.** Γνώμη[9]) ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ᾽ οἶκος, εἴς τ᾽ αὖ πόλεμον ἰσχύει[10]) μέγα. **25.** Τίς οὐκ οἶδεν[11]), ὅτι οἱ νικῶντες τά[12]) τε ἑαυτῶν σώζουσι καὶ τὰ[12]) τῶν ἡττόνων προςλαμβάνουσιν; **26.** Ὁπόσοι μαστεύουσι ζῆν ἐκ[13]) παντὸς τρόπου ἐν τοῖς πολεμικοῖς, οὗτοι κακῶς τε καὶ αἰσχρῶς ὡς ἐπὶ τὸ πολὺ[14]) ἀποθνήσκουσιν. **27.** Θεμιστοκλῆς ὁ Νεοκλέους ἑαυτὸν εἴκαζε ταῖς δρυσί, λέγων[15]) ὅτι καὶ ἐκείνας ὑπέρχονται οἱ ἄνθρωποι, ἂν[16]) δέωνται αὐτῶν, ὅταν ὕῃ, στέγην τὴν ἐκ τῶν κλάδων ποθοῦντες[15])· ὅταν δὲ οὔσης[17])

---

1) mit *welcher*. 2) v. κεῖμαι. 3) *vor*. 4) *in*. 5) s. VIII, 30, 13. 6) abhängig von σημεῖον. 7) v. οἶδα. 8) neutr. 9) wodurch? 10) sc. γνώμη. 11) 3. sg. v. οἶδα. 12) *den Besitz*; s. X, 9, 10. 13) *auf*. 14) s. ἐπί. 15) mit *indem*. 16) s. ἄν, 1. 17) statt des gen. absol. und des part. v. εἰμί im Deutschen die praep. *bei*.

εὐδίας παρίωσι[1]), *τίλλουσιν* αὐτὰς καὶ *περικυκλοῦσιν*. **28.** Ἀνθρώπων ἕκαστος δύο πήρας *φέρει*, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν, *γέμει* δὲ κακῶν ἑκατέρα· ἀλλ' ἡ μὲν ἔμπροσθεν ἀλλοτρίων, ἡ δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος. Καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὑτῶν κακὰ οὐχ *ὁρῶσι*, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς *θεῶνται*. **29.** Οἱ μὲν νόμοι διὰ τὴν συντομίαν οὐ *διδάσκουσιν*, ἀλλ' *ἐπιτάττουσιν*, ἃ δεῖ ποιεῖν· οἱ δὲ ποιηταί, μιμούμενοι[2]) τὸν ἀνθρώπινον βίον, τὰ κάλλιστα τῶν ἔργων ἐκλεξάμενοι[3]), μετὰ λόγου καὶ ἀποδείξεως τοὺς ἀνθρώπους *συμπείθουσιν*.

30. Πλάτων ὀργισθείς[4]) ποτέ τινι τῶν δούλων, χάριν ἔχειν τοῖς θεοῖς *ἐκέλευεν* αὐτόν, ὅτι ὀργίζεται· κολασθῆναι[5]) γὰρ ἂν[6]) πάντως, εἰ μὴ *ὠργίζετο*[6]). **31.** Κλεάνθης ἐρωτώμενος, διὰ τί παρὰ τοῖς ἀρχαίοις, οὐ πολλῶν[7]) φιλοσοφησάντων[7]), ὅμως πλείους διέλαμψαν ἢ νῦν, Ὅτι, εἶπε, τότε μὲν ἔργον *ἠσκεῖτο*, νῦν δὲ λόγος. **32.** Ἀρίστων τοὺς λόγους τῶν διαλεκτικῶν τοῖς ἀραχνίων ὑφάσμασιν *εἴκαζεν*, οὐδὲν μὲν χρησίμοις[8]), λίαν δὲ τεχνικοῖς. **33.** Ἀγριππῖνος, πλείστου ἄξιος ἀνὴρ γενόμενος[9]), οὐδεπώποτε ἐπῄνεσεν ἑαυτόν, ἀλλ', εἰ καὶ ἄλλος τις αὐτὸν *ἐπῄνει*, *ἠρυθρία*. **34.** Δημοφῶν ὁ Ἀλεξάνδρου τραπεζοκόμος ἐν σκιᾷ *ἐθάλπετο*, ἐν ἡλίῳ δ' *ἐρρίγου*· Ἄνδρων δ' ὁ Ἀργεῖος διὰ τῆς ἀνύδρου Λιβύης *ὥδευεν* ἄποτος. **35.** Θεμιστοκλῆς τὸ ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι *προεώρα* μάλιστα. **36.** Ἀγησίλαος οὐχ οὕτως ἐπὶ[10]) τῷ ἄλλων βασιλεύειν[10]) ἢ ἐπὶ τῷ ἑαυτοῦ ἄρχειν *ἐμεγαλύνετο*. **37.** Σωκράτης πρὸς τὰς τοῦ χειμῶνος καρτερήσεις θαυμάσια *εἰργάζετο*. **38.** Ἡ Βακτριανὴ χώρα πόλλαις καὶ μεγάλαις οἰκουμένη[2]) πόλεσι[11]) μίαν μὲν *εἶχεν* ἐπιφανεστάτην, ἐν

---

1) v. πάρειμι, -ιέναι. 2) mit *welche*. 3) mit *und*. 4) mit *als*. 5) s. XIV, c. 7, 14. 6) s. ἄν, 4 u. 5. 7) gen. absol. mit *obwohl*. 8) statt der Apposition im Deutschen einen Relativsatz: *welche — sind*. 9) v. γίγνομαι, mit *welcher*. 10) durch *damit, dass*. 11) wovon?

ᾗ *συνέβαινεν*[1]) εἶναι καὶ τὰ βασίλεια· αὕτη δ' *ἐκαλεῖτο* μὲν Βάκτρα, μεγέθει δὲ καὶ τῇ κατὰ[2]) τὴν ἀκρόπολιν ὀχυρότητι πολὺ πασῶν *διέφερεν*. **39.** Οἱ Μάγοι *ἀπεφαίνοντο* τοῦ μεγίστου[3]) τῶν θεῶν, ὃν Ὠρωμάγδην *ἐκάλουν*, ἐοικέναι τὸ μὲν σῶμα φωτί, τὴν δὲ ψυχὴν ἀληθείᾳ. **40.** Οἱ Πυθαγόρου μαθηταὶ πενταετίαν *ἡσύχαζον*, μόνον τῶν λόγων κατακούοντες[4]) καὶ οὐδέπω Πυθαγόραν ὁρῶντες[4])· τοὐντεῦθεν[5]) δ' *ἐγίγνοντο* τῆς οἰκίας[6]) αὐτοῦ καὶ τῆς ὄψεως *μετεῖχον*. **41.** Οἱ σοφισταὶ μικροῦ κέρδους ὀρεγόμενοι[7]) μόνον οὐκ[8]) ἀθανάτους *ὑπισχνοῦντο* τοὺς συνόντας[9]) ποιήσειν. **42.** Τῶν Ἀθηναίων ἑκάστη ἡλικία παρέσχετο[10]) ἑαυτὴν εἰς τὴν τῆς πόλεως σωτηρίαν, ὅτε ἡ μὲν χώρα τὰ δένδρα *συνεβάλλετο*, οἱ δὲ τελευτηκότες τὰς θήκας, οἱ δὲ νεῴ τὰ ὅπλα· *ἐπεμελοῦντο* γὰρ οἱ μὲν τῆς τῶν τειχῶν κατασκευῆς, οἱ δὲ τῆς τῶν τάφρων, οἱ δὲ τῆς χαρακώσεως. **43.** Οἱ Κρητῶν παῖδες *ἠγελάζοντο* κοινῇ μετ' ἀλλήλων, σκληραγωγούμενοι[11]) καὶ θήρας καὶ δρόμους ἀνάντεις ἀνυπόδητοι κατανύοντες[11])· *συνεσίτουν*[12]) δ' ἐν κοινῷ οἱ ἄνδρες τὴν αὐτὴν δίαιταν ἔχοντες[11]) ἐξ ἴσου πάντες. **44.** Τριβαλλοὶ τέσσαρας φάλαγγας ἐν ταῖς μάχαις *ἐποιοῦντο*, τὴν πρώτην τῶν[13]) ἀσθενῶν, τὴν ἐχομένην τῶν[13]) κρατίστων, τὴν τρίτην τῶν[13]) ἱππέων, τελευταίαν δὲ τὴν τῶν γυναικῶν, αἳ αὐτοὺς εἰς φυγὴν *τρεπομένους*[14]) *ἐκώλυον* βλασφημοῦσαι[15]).

b. Ind. fut. aor. perf. plusq.

1. Λάκαινα γυνὴ τοῦ υἱέος[16]) αὐτῆς ἐν παρατάξει χωλωθέντος[16]) καὶ δυςφοροῦντος[16]) ἐπὶ τούτῳ, Μὴ λυποῦ,

---

1) in welchen Buchstaben verwandelt sich ν vor β? 2) durch den gen. 3) abhängig von σῶμα, durch *von*. 4) mit *indem*. 5) aus τὸ ἐντ. 6) dieser gen. wird im Deutschen vermittelt durch ein Substantiv; *Mitglieder*. 7) mit *welche*. 8) s. μόνος. 9) v. σύνειμι, -εἶναι. 10) v. παρέχω. 11) durch verb. fin., die mit *und* angereiht werden. 12) beachte, daß ν vor σ eine Veränderung erleidet. 13) den gen. durch *aus*. 14) mit *wenn*. 15) durch ein subst. mit *durch*. 16) gen. absol. mit *als*.

τέκνον, εἶπεν, καθ᾽[1] ἕκαστον γὰρ βῆμα τῆς ἰδίας ἀρετῆς ὑπομνησθήσῃ[2]. **2.** Ἴσμεν[3] δήπου, ὅτι, εἰ μὴ ἕξει τὰ ἐπιτήδεια ἡ στρατιά, καταλύσεται[4] τοῦ ἄρχοντος εὐθὺς ἡ ἀρχή. **3.** Ὅπου πλείστη εὐκοσμία ἐστίν, αὕτη ἄριστα ἡ πόλις οἰκήσεται[4]. **4.** Δεῖ αὐτὸν ἑαυτὸν μάλιστα φυλάττειν, ὅπως μὴ ἀδικήσει[5]. **5.** Ἀλέξανδρος ἔτι παῖς ὤν[6], πολλὰ τοῦ Φιλίππου[7] κατορθοῦντος[7], οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους[8] ἔλεγε παῖδας, Ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει. τῶν δὲ παίδων[7] λεγόντων[7], ὅτι Ταῦτα σοὶ κτᾶται, Τί δ᾽ ὄφελος[9], εἶπεν, ἐὰν ἔχω μὲν πολλά, πράξω δὲ οὐδέν; **6.** Ἢν ἐθέλωμεν ἀποθνήσκειν ὑπὲρ τῶν δικαίων, εὐδοκιμήσομεν. **7.** Εἴ τινα ἀλλήλοις[10] μάχην συνάψομεν, κατακεκοψόμεθα. **8.** Τὸν ἀργόν[11] τε καὶ τὸν δάπανον δεῖ τὸν ἀγαθὸν νομοθέτην[12] πόλεως μὴ ἧττον ἢ σοφὸν μελιτουργὸν[12] τοὺς κηφῆνας πόρρωθεν εὐλαβεῖσθαι[12], μάλιστα μέν, ὅπως μὴ ἐγγένησθον[13], ἂν[14] δὲ ἐγγένησθον, ὅπως ὅτι τάχιστα[15] σὺν αὐτοῖς[16] τοῖς κηρίοις ἐκτετμήσεσθον[17]. **9.** Οἱ ἀγαθοὶ τοὺς κακοὺς ἰδόντες[18] ἀτιμασθέντας εὐθυμότερον τῆς ἀρετῆς ἀνθέξονται[19].

10. Σχολαστικὸς σχολαστικῷ συναντήσας[20] εἶπεν, Ἔμαθον[21], ὅτι ἀπέθανες[22]. κἀκεῖνος, Ἀλλ᾽ ὁρᾷς με ἔτι, ἔφη, ζῶντα. καὶ ὁ σχολαστικός, Καὶ μὴν ὁ εἰπών μοι πολλῷ σοῦ[23] ἀξιοπιστότερός ἐστιν. **11.** Ποτάνην Ἀλέξανδρος ᾤκισε παρὰ τὸν Ἰνδὸν ποταμόν, ναύσταθμον ἔχειν βουλόμενος[24] τῆς[25] παρὰ τὸν ὠκεανὸν παραλίου. **12.** Γανυμήδης τῶν ἁπάντων εὐπρεπείᾳ διαφέρων[26] ὑπὸ τῶν

---

1) *bei*. 2) v. ὑπομιμνήσκω. 3) 1. pl. v. οἶδα. 4) das fut. med. statt des fut. pass. 5) die 3. pers. durch *man*. s. IX, 70, 22. 6) mit *als*. 7) gen. absol. mit *als*. 8) mit *welche*. 9) sc. ἐστίν. 10) den dat. durch *mit*. 11) abhängig von εὐλαβ. 12) acc. c. inf. 13) v. ἐγγίγνομαι. 14) s. ἄν, 1. 15) s. ὅτι. 16) *sammt*. 17) v. ἐκτέμνω, s. IX, 70, 22. 18) v. ὁράω, mit *wenn*. 19) v. ἀντέχω. 20) mit *und*. 21) v. μανθάνω. 22) v. ἀποθνήσκω. 23) gen. comparat. 24) mit *indem*. 25) durch *für*. 26) mit *welcher*.

θεῶν ἀνηρπάγη, τῷ Διὶ οἰνοχοεῖν[1]). **13.** Ζήνων[2]) μειρακίου[3]) τινὸς περιεργότερον[4]) παρὰ[5]) τὴν ἡλικίαν ἐρωτῶντος[3]) ζήτημά τι, προςήγαγε πρὸς κάτοπτρον καὶ ἐκέλευσεν ἐμβλέψαι· ἔπειτ᾽ ἠρώτησεν, εἰ δοκοίη αὐτῷ ἁρμόττοντα εἶναι ὄψει τὰ τοιαῦτα ζητήματα. **14.** Ἦν Ἀθηναίοις ποτὲ πάτριον ἡγεῖσθαι τῆς Ἑλλάδος καὶ τοῖς τυράννοις ὑπὲρ τῆς ἐλευθερίας ἀνταγωνίζεσθαι. Οὗτος ὁ νόμος ἤρξατο μὲν ἀπὸ Μιλτιάδου, ἤκμασε δὲ ἐπὶ Θεμιστοκλέους, κατέβη[6]) εἰς Κίμωνα, ἐφυλάχθη δὲ ὑπὸ Περικλέους, καὶ ἐθαυμάσθη ὑπὸ Ἀλκιβιάδου. **15.** Ἰνώ, μανεῖσα[7]) ὑπὸ τῆς Ἥρας, τὸν ἑαυτῆς παῖδα ἐπισφάξασα[8]) Μελικέρτην, ἥλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν. **16.** Ἀθηναίοις ἐρομένοις[9]), ὅπως λῷον αὐτοῖς[10]) γίγνοιτο, ἔχρησεν ἡ Πυθία, εἰ τὸ κάλλιστον εἰς τὸ δεξιὸν οὖς τῶν παίδων ἐντιθέναι[11]) βούλοιντο· οἱ δὲ τρήσαντες[12]) εἰς αὐτὸ χρυσίον ἔβαλλον, ἀγνοήσαντες[13]), ὅτι τὸν φιλόσοφον λόγον ἐμήνυσεν[14]). **17.** Πολλάκις εἷς μόνος Λακεδαιμονίων πολιορκουμένῃ τινὶ τῶν πόλεων τῶν συμμαχίδων ἐβοήθησεν. Πεδάριτος μὲν γὰρ εἰς Χίον εἰςπλεύσας[8]) τὴν πόλιν αὐτῶν διέσωσεν· Βρασίδας δ᾽ εἰς Ἀμφίπολιν εἰςελθὼν[15]) ὀλίγους περὶ αὐτὸν τῶν πολιορκουμένων συνταξάμενος[16]) πολλοὺς ὄντας[17]) τοὺς πολιορκοῦντας ἐνίκησε μαχόμενος· Γύλιππος δὲ Συρακουσίοις βοηθήσας[8]) οὐ μόνον ἐκείνους διέσωσεν, ἀλλὰ καὶ τὴν δύναμιν τὴν κρατοῦσαν[18]) αὐτῶν[19]) καὶ κατὰ γῆν καὶ κατὰ θάλλατταν ἅπασαν αἰχμάλωτον ἔλαβεν[20]). **18.** Ἑρμαῖ[21]) μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα[22]). **19.** Αἱ παλαιαὶ πόλεις διὰ τὴν λῃστείαν ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν. **20.** Αἱ Γοργόνες ὑπὸ

1) mit *um zu*. 2) aus Kitium. 3) gen. absol. mit *als*. 4) den comp. durch *zu*. 5) *für*. 6) v. καταβαίνω. 7) v. μαίνω, mit *als*. 8) mit *und*. 9) v. ἠρόμην, mit *als*. 10) durch *mit*. 11) inf. praes. act. v. ἐντίθημι. 12) sc. τὸ οὖς, v. τιτράω, mit *und*. 13) mit *da*. 14) sc. ἡ Πυθία. 15) v. εἰςέρχομαι, mit *und*. 16) mit *nachdem*. 17) v. ὤν, mit *welche*. 18) mit *welche*. 19) abhängig von κρατοῦσαν. 20) v. λαμβάνω. 21) statt des nom. im Deutschen mit *von*. 22) acc. woran?

Περσέως τοῦ[1]) *Διὸς κατεπολεμήθησαν, καθ᾽ ὃν καιρὸν ἐβασίλευεν αὐτῶν Μέδουσα· τὸ δὲ τελευταῖον ὑφ᾽ Ἡρακλέους ἄρδην ἀνῃρέθησαν.* **21.** *Ἡ τῶν Ἀθηναίων πόλις τὸ μὲν παλαιὸν ὑπὸ τῶν τυράννων κατεδουλώθη, τὸ δ᾽ ὕστερον ὑπὸ τῶν τριάκοντα καὶ ὑπὸ Λακεδαιμονίων τὰ τείχη καθῃρέθη· καὶ ἐκ τούτων ὅμως ἀμφοτέρων ἠλευθερώθησαν, καὶ τῆς τῶν Ἑλλήνων εὐδαιμονίας*[2]) *ἠξιώθησαν προστάται γενέσθαι*[3]). **22.** *Δημήτριος Φαληρεὺς δημηγορῶν*[4]) *παρ᾽ Ἀθηναίοις τῆς πόλεως ἐξηγήσατο ἔτη δέκα, καὶ εἰκόνων ἠξιώθη χαλκῶν ἑξήκοντα πρὸς ταῖς τριακοσίαις, ὧν αἱ πλείους ἐφ᾽ ἵππων ἦσαν καὶ ἁρμάτων καὶ συνωρίδων, συντελεσθεῖσαι*[5]) *ἐν οὐδὲ τριακοσίαις ἡμέραις· τοσοῦτον ἐσπουδάσθη*[6]). *οὗτος ἀκούσας*[7]), *ὅτι τὰς εἰκόνας αὐτοῦ κατέστρεψαν Ἀθηναῖοι, Ἀλλ᾽ οὐ τὴν ἀρετήν, ἔφη, δι᾽ ἣν ἐκείνας ἀνέστησαν*[8]).

23. *Ὅμηρος σοφώτατος πεποίηκε σχεδὸν περὶ πάντων τῶν ἀνθρωπίνων.* **24.** *Ὅτῳ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ*[9]) *πρὸς εὐδαιμονίαν φέροντα*[9]) *καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, τούτῳ ἄριστα παρεσκεύασται ζῆν, οὗτός ἐστιν ὁ σώφρων καὶ οὗτος ὁ ἀνδρεῖος καὶ φρόνιμος.* **25.** *Παιδείας οὐ μικρὸν μέρος ἐστὶ τὰ ὑπὸ τῶν ποιητῶν λεγόμενα*[10]) *οἷόν τε εἶναι ξυνιέναι*[11]), *ἅ τε ὀρθῶς πεποίηται καὶ ἃ μή.* **26.** *Θανεῖν*[12]) *πέπρωται*[13]) *ἅπασιν.* **27.** *Διαφωνοῦσιν οἱ μυθογράφοι κατὰ τὸν τῶν Μουσῶν ἀριθμόν· οἱ μὲν γὰρ τρεῖς λέγουσιν, οἱ δὲ ἐννέα· κεκράτηκε δὲ ὁ τῶν ἐννέα ἀριθμός.* **28.** *Ἐν ταῖς δυσπραξίαις ἡμῖν ἐπιδεικτέον*[14]) *ἐστὶν, ὅτι τῶν ἄλλων*[15]) *ἄμεινον τεθράμμεθα*[16]) *καὶ πεπαιδεύμεθα πρὸς ἀρετήν.* **29.** *Φασί*[17]) *τινες, ὅτι κοσμήσας*[18]) *ἑαυτὸν ὁ Κροῖσος παντοδαπῶς*

---

1) statt des bloßen Artikels bedarf der Deutsche der bestimmteren Bezeichnung: *dem Sohne.* 2) abhängig von *προστάται.* 3) v. *γίγνομαι.* 4) mit *welcher.* 5) mit *und welche.* 6) sc. *Δημήτριος.* 7) mit *als.* 8) v. *ἀνίστημι.* 9) s. XIII, a, 28, 15. 10) abhängig von *ξυνιέναι.* 11) inf. praes. v. *ξυνίημι = συνίημι.* 12) v. *θνήσκω.* 13) v. *πορεῖν.* 14) adject. verb. v. *ἐπιδείκνυμι.* 15) gen. comp. 16) v. *τρέφω.* 17) 3. pl. praes. ind. v. *φημί.* 18) mit *und.*

καὶ καθίσας εἰς τὸν θρόνον ἤρετο[1]) *Σόλωνα, εἴ τι θέαμα κάλλιον τεθέαται*[2])· *ὁ δὲ, ἀλεκτρυόνας, εἶπε, καὶ φασιανοὺς καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ καλλίονι.* **30.** *Τίς οὐκ ἂν*[3]) *μᾶλλον πιστεύοι*[4]), *οἷς πολλοὶ μεμαρτυρήκασιν, ἢ*[5]) *ᾧ μηδεὶς τετόλμηκεν*[6]); **31.** *Οἱ πολλοὶ ὑπειλήφασι*[7]) *τὰς*[8]) *περὶ τὸν Θερμώδοντα ποταμὸν ἐν τῷ Πόντῳ λεγομένας*[9]) *κατῳκηκέναι Ἀμαζόνας*[8]) *μόνας ὑπάρξαι*[8]). *γέγονε*[10]) *δὲ πλείω γένη γυναικῶν κατὰ τὴν Λιβύην μάχιμα καὶ τεθαυμασμένα μεγάλως ἐπ᾽ ἀνδρείᾳ.*

32. *Ἀντὶ τοῦ*[11]) *μὴ νομίζειν*[11]) *θεούς, ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο, φανερὸς ἦν Σωκράτης θεραπεύων*[12]) *τοὺς θεοὺς μάλιστα τῶν ἄλλων ἀνθρώπων.* **33.** *Πέμπτῳ ἔτει τοῦ πολέμου οἱ Πελοποννήσιοι ἐδῄωσαν τῆς Ἀττικῆς*[13]) *τά τε πρότερον τετμημένα*[14]), *καὶ εἴ τι ἐβεβλαστήκει*[15]), *καὶ ὅσα ἐν ταῖς πρὶν ἐςβολαῖς παρελέλειπτο.* **34.** *Οἱ Πέρσαι ἐπεπαίδευντο καὶ πρὸς λιμὸν καὶ πρὸς ῥῖγος καρτερεῖν.* **35.** *Θηβαῖοι, οἷς*[16]) *εὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ μετρίως ἐκέχρηντο.* **36.** *Θῆβαι μεθ᾽ ἡμέραν*[17]) *μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνηρπασμέναι ἦσαν.*

c) Conj. Opt. Imperat.

1. *Μὴ σπεῦδε πλουτεῖν, μὴ*[18]) *ταχὺ πένης γένῃ*[19]). **2.** *Εἰσὶν εὐτυχέστατοι μὲν οἱ ἐλάχιστα ἐξαμαρτάνοντες, σωφρονέστατοι δὲ, οἳ ἂν*[20]) *τάχιστα μεταγιγνώσκωσιν.* **3.** *Τὸ ὁμοιοῦν ἑαυτὸν ἄλλῳ, μιμεῖσθαί ἐστιν*[21]) *ἐκεῖνον, ᾧ ἂν ὁ-*

---

1) v. ἠρόμην. 2) s. VIII, 24, 20. 3) s. ἄν, 3. 4) für das Deutsche ist τούτοις zu ergänzen. 5) zu ergänzen τούτῳ. 6) sc. μαρτυρεῖν. 7) v. ὑπολαμβάνω. 8) τάς gehört zu Ἀμαζόνας, acc. c. inf. 9) *von denen man sagt, dass sie.* 10) v. γίγνομαι. 11) durch den inf. mit *zu.* 12) s. φανερός. 13) durch *von.* 14) v. τέμνω. 15) v. βλαστάνω. 16) = τούτοις, ἅ, *das, worin sie, das Glück, welches.* 17) s. μετά. 18) s. μή, 2. 19) v. γίγνομαι. 20) s. ἄν, 2. 21) *besteht darin, dass man.*

μοιοῖ[1]). 4. Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις, ἥκιστα τούτοις πλησιάζων[2]) ἥδεται. 5. Οἱ καπηλεύοντες τῷ ἀεὶ ἐπιθυμοῦντι ἐπαινοῦσι πάντα, ἃ ἂν πωλῶσιν. 6. Οὐκ ἔστιν, ὦ παῖ, συντομωτέρα ὁδός[3]), περὶ ὧν ἂν βούλῃ δοκεῖν φρόνιμος εἶναι, ἢ τὸ γενέσθαι[4]) περὶ τούτων φρόνιμον. 7. Ὡς ἂν χρήσηταί τις τοῖς πράγμασι καὶ τοῖς καιροῖς, οὕτως ἀνάγκη καὶ τὸ τέλος ἐκβαίνειν ἐξ αὐτῶν. 8. Μέγα τεκμήριον ἄρχοντος ἀρετῆς ἐστιν, ᾧ[5]) ἂν ἑκόντες ἕπωνται[6]) καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. 9. Πυθαγόρας ἐρωτηθείς, Τί ποιοῦντές[7]) εἰσιν ἄνθρωποι θεῷ ὅμοιοι; ἔφη, Ἐὰν ἀληθεύωσιν. 10. Ἐν ταῖς εὐνομουμέναις[8]) πόλεσιν οὐκ ἀρκεῖ τοῖς πολίταις, ἢν νόμους καλοὺς γράψωνται, ἀλλὰ καὶ νομοφύλακας προσαιροῦνται, οἵτινες ἐπισκοποῦντες[9]) τὸν μὲν ποιοῦντα τὰ νόμιμα ἐπαινοῦσιν, ἢν δέ τις παρὰ τοὺς νόμους ποιῇ, ζημιοῦσιν. 11. Ὅταν ὁ μὲν λόγος ἀπαγγέλληται μεγάλα, ὁ δὲ βίος πράττῃ μηδὲ τοὐλάχιστον[10]), ἆρ᾽ οὐ κόμπος ταῦτα[11]) καὶ τερατεία σοφιστοῦ καὶ μειρακίων ἀκοὰς ἐκπλήττειν ἐσπουδακότος[12]); 12. Αἱ δόξαι αἱ ἀληθεῖς, ὅσον μὲν ἂν[13]) χρόνον[14]) παραμένωσι, καλὸν τὸ χρῆμα[11]), καὶ πάντα ἀγαθὰ ἀπεργάζονται· πολὺν δὲ χρόνον οὐκ ἐθέλουσι παραμένειν, ἀλλὰ δραπετεύουσιν ἐκ τῆς ψυχῆς τοῦ ἀνθρώπου· ὥστε οὐ πολλοῦ ἄξιαί εἰσιν, ἕως ἄν[13]) τις αὐτὰς δήσῃ αἰτίας[15]) λογισμῷ. Ἐπειδὰν δὲ δεθῶσι, πρῶτον μὲν ἐπιστῆμαι γίγνονται, ἔπειτα δὲ μόνιμοι.

13. Τίνι ἂν[16]) πόλις ἀρέσκοι ἄνευ νόμων; 14. Πάντες ἂν ὁμολογήσαιτε ὁμόνοιαν μέγιστον ἀγαθὸν εἶναι πόλει, στάσιν δὲ πάντων κακῶν αἰτίαν. 15. Δίκαια ἂν πράττοι

---

1) sc. ἑαυτόν, was für ein Modus? 2) mit *wenn;* auch mit dem inf. mit *zu;* doch s. unter ἥδομαι. 3) sc. εἰς τὸ δοκεῖν φρόνιμον εἶναι. 4) v. γίγνομαι, durch den inf. mit *zu.* 5) statt der constr. mit dem relat. im Deutschen *wenn ihm.* 6) *man*, die Untergebenen. 7) *in welchem Thun;* wörtlich? 8) mit *welche.* 9) mit *und.* 10) aus τὸ ἐλαχ. 11) sc. ἐστί. 12) mit *eines solchen, der.* 13) s. ἄν, 2. 14) s. ὅσος. 15) gen. 16) s. ἄν, 3.

ὁ τοῖς νόμοις πειθόμενος, ἄδικα δὲ ὁ τούτοις ἀπειθῶν. **16.** Τῶν ἀληθῶς παιδείας τετυχηκότων[1]) οὐδ᾽ ἂν εἷς εἴποι μέγα οὐδὲν[2]) περὶ ἑαυτοῦ, ἀλλὰ καὶ ἑτέρου[3]) λέγοντος[3]) ἐρυθριάσειεν ἄν. **17.** Τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε[4]), τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ᾽ ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. **18.** Χρὴ τοὺς μὲν εὖ πράττοντας τῆς εἰρήνης ἐπιθυμεῖν· ἐν ταύτῃ γὰρ τῇ καταστάσει πλεῖστον ἄν τις χρόνον τὰ πάροντα διαφυλάξειε· τοὺς δὲ δυστυχοῦντας τῷ πολέμῳ προσέχειν[5]) τὸν νοῦν· ἐκ γὰρ τῆς ταραχῆς καὶ τῆς καινουργίας θᾶττον ἂν μεταβολῆς τύχοιεν[6]). **19.** Ἆρ᾽ ἄν τι ὠφελοίη τὰ ἀγαθά, εἰ εἴη[7]) μόνον ἡμῖν, χρῴμεθα δὲ μή; **20.** Τὴν μεγίστην[8]) τῆς εὐλαβείας παρεσκευασμένοι ἂν εἶμεν, εἰ τῷ ὄντι[9]) καλῶς πεπαιδευμένοι εἶμεν. **21.** Μεγάλη καὶ εὐδαίμων ἂν γίγνοιτο πόλις, εἰ ἐθέλοιεν οἱ πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν ἀλλήλοις. **22.** Δεινόν γ᾽ ἂν εἴη, εἴ τινι ὀργιζοίμεθα ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς αὐτὸν διαβολὴν εἰδότες[10]), ὅτι ὑπὸ τῶν ἐχθρῶν αὐτοῦ λέγεται, κρείττω τῆς ἀληθείας[11]) ἡγησαίμεθα. **23.** Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γίγνοιτο. **24.** Εἴ τις δυνατὸς ὢν[12]) τὴν πόλιν αὔξειν, ὀκνοίη τοῦτο πράττειν, εἰκότως ἂν δειλὸς νομίζοιτο. **25.** Εἰ μὲν οὕτως τις ὀργίζοιτο ῥᾳδίως, ὥστε ἐπὶ παντὶ καὶ πάντως[13]), τὴν ἕξιν ἂν ἔχων[14]) φανείη τὴν τῆς ὀργιλότητος· εἰ δὲ οὕτως, ὥστε μηδέν, μήτε ἐφ᾽ ὁτῳοῦν[13]), τὴν τῆς ῥαθυμίας· ἀμφότεραι δ᾽ εἰσὶ ψεκταί[15]), ἐπαινουμένη[16]) δὲ ἕξις ὑπάρχει ἡ πραότης, καθ᾽ ἣν ὅτε δεῖ[13]), καὶ ὡς δεῖ, καὶ ᾧ δεῖ, ὀργιζόμεθα. **26.** Τίς οὐκ ἂν ἐξέλοιτο[17]) θεασάμενος[18])

---

1) v. *τυγχάνω*. 2) s. VIII, 30, 13. 3) gen. absol. mit *wenn*. 4) s. XIII, d, 10, 11. 5) abhängig von *χρή*. 6) v. *τυγχάνω*. 7) v. *εἰμί*. Im Deutschen *haben*. 8) sc. *εὐλάβειαν*. Der Deutsche wendet den gen. part. nicht an; den acc. durch *mit*. 9) s. *ὤν*. 10) part. praes. v. *οἶδα*, *obwohl wir von ihr wissen*. 11) gen. comp. 12) mit *und*. 13) sc. *ὀργίζεσθαι*. 14) s. bei *φαίνω*. 15) adj. verb. v. *ψέγω*. 16) XIV, c, 35, 13. 17) v. *ἐξαιρέω*. 18) mit *wenn*.

ἄνθρωπον ὑπὸ θηρίου καταδυναστευόμενον, εἰ δύναιτο[1]); τίς οὐκ ἂν ὁδὸν πλανωμένῳ μηνύσοι, καὶ ἐπαρκέσοι ὑπ' ἐνδείας ἀπολλυμένῳ[2]), καὶ[3]) ἐπ' ἐρημίας ἀνύδρου νάμασι περιτυχὼν[4]) γνωρίσμασι διαδηλώσοι[5]) τοῖς τὴν αὐτὴν ὁδὸν βαδίζουσιν; 27. Ἐκεῖνος ἂν εἴη πλείστου ἄξιος ἀνήρ, ὅστις τοῖς[6]) ἑαυτοῦ παρακινδυνεύων[7]) χρήμασί τε καὶ σώματι τολμῴη ἀγαθόν τι ποιεῖν τοὺς ἑαυτοῦ πολίτας. 28. Λυκοῦργος πηρωθεὶς[8]) ὑπό τινος τῶν πολιτῶν ὀφθαλμὸν[9]) τὸν ἕτερον, καὶ παραλαβὼν[10]) τὸν νεανίσκον παρὰ τοῦ δήμου, ἵνα τιμωρήσαιτο, ὅπως αὐτὸς βούληται, τούτου μὲν ἀπέσχετο[11])· παιδεύσας[7]) δὲ αὐτὸν ἀπέφηνεν ἄνδρα ἀγαθόν.

29. Τόλμησόν ποτε πρὸς τὰς παρούσας συμφορὰς ὀρθῶς φρονεῖν. 30. Εἶναι βούλου τὰ[12]) περὶ[12]) τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. 31. Λόγοις ἀμείβου τὸν λόγοις πείθοντά σε. 32. Πέπεισο μὴ εἶναι σὸν κτῆμα, ὅπερ μὴ ἐντὸς διανοίας ἔχεις. 33. Εἰ βούλει καλῶς[13]) ἀκούειν, μάθε[14]) καλῶς λέγειν· μαθὼν[15]) δὲ καλῶς λέγειν, πειρῶ καλῶς ποιεῖν. 34. Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους. 35. Τὸ κέρδος ἡγοῦ κέρδος, ἂν[16]) δίκαιον ᾖ[17]). 36. Μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων· εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις ὀρθῶς[18]) ἔχοντα.

37. Φίλους[19]) (δὲ) τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
Κέκτησο· τοὺς[20]) δὲ πρὸς χάριν σὺν[21]) ἡδονῇ
Τῇ σῇ πονηροὺς κλεῖθρον εἰργέτω στέγης.

38. Νομίσατε νεότητα καὶ γῆρας ἄνευ ἀλλήλων μηδὲν δύνασθαι[22]). 39. Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους,

---

1) opt. v. *δύναμαι*. 2) part. praes. pass. v. *ἀπόλλυμι*. 3) sc. *τίς οὐκ ἄν*. 4) v. *περιτυγχάνω*, mit *wenn*. 5) sc. *τὰ νάματα*. 6) gehört zu *χρήμασι*. 7) mit *und*. 8) mit *als*. 9) woran? 10) mit *als*; v. *παραλαμβάνω*. 11) v. *ἀπέχω*. 12) *in Bezug auf*, wörtlich? 13) s. *ἀκούω*. 14) v. *μανθάνω*. 15) mit *wenn*. 16) s. *ἄν*, 1. 17) v. *εἰμί*. 18) s. *ἔχω*. 19) als was? oder wozu? 20) gehört zu *πονηρούς*, im Deutschen einen Satz mit *welche*. 21) *zu*. 22) inf. praes. v. *δύναμαι*.

ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας[1]). **40.** Μὴ δὶς πρὸς τὸν αὐτὸν λίθον πταῖε. **41.** Μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής. **42.** Σόλων τοῖς ἀνθρώποις συνεβούλευσε[2]) τάδε· καλοκἀγαθίαν ὅρκου[3]) πιστοτέραν ἔχε· μὴ ψεύδου· τὰ σπουδαῖα μελέτα· φίλους μὴ ταχὺ κτῶ· οὓς δ' ἂν[4]) κτήσῃ, μὴ ἀποδοκίμαζε· ἄρχε, πρῶτον μαθὼν[5]) ἄρχεσθαι· συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα· νοῦν ἡγεμόνα ποιοῦ· μὴ κακοῖς ὁμίλει· θεοὺς τίμα, γονέας αἰδοῦ.

d. Infinitiv.

1. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς[6]) διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. **2.** Φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει τοῖς ἐπαινοῦσιν αὐτοὺς[7]) ἄχθεσθαι. **3.** Ὅρκος ἦν[8]) Ἀθηναίοις μηδένα μήτε ἐξελᾶν[9]) μήτε δήσειν μήτε ἀποκτενεῖν ἄκριτον. **4.** Τῷ μεγάλῳ[10]) βασιλεῖ οὐ πάτριον ἦν ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυνήσαντος[11]). **5.** Οὐκ ἄξιον ἀπὸ τῆς ὄψεως οὔτε φιλεῖν οὔτε μισεῖν οὐδένα[12]), ἀλλ'[13]) ἐκ τῶν ἔργων σκοπεῖν. **6.** Τῇ μὲν γυναικὶ κάλλιον[14]) ἔνδον μένειν ἢ θυραυλεῖν, τῷ δὲ ἀνδρὶ αἴσχιον[14]) ἔνδον μένειν ἢ τῶν ἔξω ἐπιμελεῖσθαι. **7.** Κάλλιστον[14]) ὅτι μάλιστα[15]) ἡσυχίαν ἄγειν ἐν ταῖς ξυμφοραῖς καὶ μὴ ἀγανακτεῖν. **8.** Δύο τέχνας ἀκριβῶς διαπονεῖσθαι σχεδὸν οὐδεμία φύσις ἱκανὴ τῶν ἀνθρωπίνων[16]). **9.** Οὐχ οἷόν τε ἀμελῆ αὐτὸν[17]) ὄντα[18]) ἄλλους ποιεῖν ἐπιμελεῖς. **10.** Δεῖ μὴ μόνον κεκτῆσθαι τὰ ἀγαθὰ, ἀλλὰ καὶ χρῆσθαι αὐτοῖς, ὡς[19]) οὐδὲν ὄφελος τῆς κτήσεως γίγνεται. **11.** Χρὴ ἀνθρωπίνως περὶ τῶν πραγ-

---

1) part. v. σύνοιδα. 2) aus ν vor β wird μ. 3) gen. comp. 4) s. ἄν, 2. 5) v. μανθάνω, mit *wenn*. 6) s. XIII, a, 28, 15. 7) abhängig von ἐπαινοῦσιν (particip.). 8) durch *haben*. 9) v. ἐξελαύνω. 10) s. βασιλεύς. 11) mit *wenn er* oder *welcher*. 12) s. VIII, 30, 13. 13) sc. ἄξιόν ἐστιν. 14) sc. ἐστίν. 15) s. ὅτι. 16) sc. φύσεων. 17) s. II, 2, 2. 18) mit *wenn*. 19) *da sonst*.

μάτων ἐκλογίζεσθαι, ὥςπερ[1]) ἂν[1]) αὐτὸν ὄντα[1]) ἐν τῇ συμφορᾷ. **12.** Δεῖ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν ἅπασιν ἀεὶ τοῖς καλοῖς. **13.** Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν[2]) κρείττω πειρᾶσθαι ποιεῖν[3]).

14. Τρεῖς εἰσιν ἀρεταί, ἃς χρή σ᾽ ἀσκεῖν, ὦ τέκνον·
Θεόν τε τιμᾶν, τούς τε θρέψαντας[4]) γονεῖς,
Νόμους τε κοινοὺς πατρίδος· καὶ ταῦτα δρῶν[5])
Κάλλιστον ἕξεις στέφανον εὐκλείας ἀεί.

15. Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν,
Αἰσχρόν τε μοχθεῖν μὴ θέλειν[6]) νεανίαν[6]).

16. Τὸν Διόνυσόν φασιν ἐπελθόντα[7]) μετὰ στρατοπέδου πᾶσαν τὴν οἰκουμένην, διδάξαι[8]) τήν τε φυτείαν τῆς ἀμπέλου καὶ τὴν ἐν ταῖς ληνοῖς ἀπόθλιψιν τῶν βοτρύων, ἀφ᾽ οὗ Ληναῖον αὐτὸν ὀνομασθῆναι[9]). **17.** Ἆρ᾽ οὐκ οἴει ἄσχημον ἂν[10]) φανεῖσθαι τὸ τοῦ ἀποφεύγοντος πρᾶγμα; **18.** Ἀμελεῖσθαι δοκοῦντες[5]) στρατιῶται οἱ μὲν ἀγαθοὶ πολὺ ἀθυμότεροι γίγνονται, οἱ δὲ πονηροὶ πολὺ ὑβριστότεροι. **19.** Οὕτω καθαρὸν χρὴ τὸν βίον εἶναι τοῦ σώφρονος ἀνδρός, ὥςτε μὴ ἐπιδέχεσθαι δόξαν αἰτίας πονηρᾶς.

20. Τὸ[11]) κολάζεσθαι τῇ ψυχῇ ἄμεινόν ἐστιν ἢ ἡ ἀκολασία. **21.** Τὸ μὲν ἰσχυρὸν[12]) γενέσθαι[13]) τῆς φύσεως ἔργον· τὸ δὲ λέγειν δύνασθαι[14]) τὰ συμφέροντα τῇ πατρίδι ψυχῆς ἴδιον καὶ φρονήσεως. **22.** Μενέδημός ποτέ τινος ἀκούσας[15]), ὡς μέγιστον ἀγαθὸν εἴη τὸ[11]) πάντων ἐπιτυγχάνειν, ὧν τις ἐπιθυμεῖ, εἶπε, Πολὺ δὲ μεῖζον τὸ[11]) ἐπιθυμεῖν, ὧν δεῖ. **23.** Ἔργα τῆς φρονήσεώς ἐστι τὸ[11]) εὖ βουλεύεσθαι, τὸ κρῖναι τὰ ἀγαθὰ καὶ τὰ κακὰ καὶ πάντα τὰ[16]) ἐν τῷ βίῳ αἱρετὰ καὶ φευκτά, τὸ χρῆσθαι καλῶς πᾶσι τοῖς ὑπάρχουσιν ἀγαθοῖς, τὸ ὁμι-

---

1) *wie wenn man — wäre.* 2) gen. comp. 3) abhängig von πειρᾶσθαι, und dieses von δεῖ. 4) mit *welche*, v. τρέφω. 5) mit *wenn.* 6) acc. c. inf. 7) mit *und*, v. ἐπέρχομαι. 8) v. διδάσκω. 9) s. XIV, c, 7, 14. 10) s. ἄν, 5. 11) s. XIII, b, 45, 1. 12) s. II, 2, 2. 13) v. γίγνομαι. 14) inf. praes. v. δύναμαι. 15) mit *als.* 16) die adj. verb. durch einen Relativsatz: *alles, was.*

λῆσαι ὀρθῶς, τὸ συνιδεῖν[1]) τοὺς καιρούς, τὸ ἀγχινόως χρῆσθαι καὶ λόγῳ καὶ ἔργῳ, τὸ ἐμπειρίαν ἔχειν τῶν χρησίμων[2]) πάντων. **24.** Ἡ αὐτή ἐστι μελέτη τοῦ[3]) καλῶς ζῆν καὶ τοῦ καλῶς ἀποθνήσκειν. **25.** Τὸ[3]) εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ[3]) κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται, διόπερ πολλάκις δοκεῖ τὸ[3]) φυλάξαι τἀγαθὰ τοῦ[4]) κτήσασθαι χαλεπώτερον εἶναι. **26.** Τούτῳ[5]) δοκεῖ διαφέρειν ἀνὴρ φιλότιμος ἀνδρὸς φιλοκερδοῦς τῷ[5]) ἐθέλειν ἐπαίνου καὶ τιμῆς ἕνεκα καὶ πονεῖν, ὅπου δεῖ, καὶ κινδυνεύειν καὶ αἰσχρῶν κερδῶν ἀπέχεσθαι. **27.** Καλοῦσιν ἀκολασίαν τὸ[3]) ὑπὸ τῶν ἡδονῶν ἄρχεσθαι. **28.** Μούσας φασὶν ὠνομάσθαι ἀπὸ τοῦ[6]) μυεῖν τοὺς ἀνθρώπους, τοῦτο δ' ἐστὶν ἀπὸ τοῦ[6]) διδάσκειν τὰ καλὰ καὶ συμφέροντα καὶ ὑπὸ τῶν ἀπαιδεύτων ἀγνοούμενα. **29.** Αἱ μεγάλαι τέρψεις ἀπὸ τοῦ[7]) θεᾶσθαι τὰ καλὰ[8]) τῶν ἔργων γίγνονται. **30.** Τὸ πλουτεῖν[9]) ἐστιν[10]) ἐν τῷ χρῆσθαι[9]) μᾶλλον ἢ ἐν τῷ κεκτῆσθαι[9]). **31.** Τῷ τῆς Κυβέλης ἀγάλματι παρίστασαν[11]) παρδάλεις καὶ λέοντας διὰ τὸ[12]) δοκεῖν[12]) ὑπὸ τούτων πρώτως τραφῆναι. **32.** Ψυχῆς[4]) ἀνθρώπῳ κτῆμα οὐκ ἔστιν εὐφυέστερον εἰς[13]) τὸ[13]) φυγεῖν μὲν τὸ κακόν, ἰχνεῦσαι δὲ καὶ ἑλεῖν[14]) τὰ πάντων ἄριστα, καὶ ἑλόντα[15]) αὖ κοινῇ ξυνοικεῖν τὸν ἐπίλοιπον βίον.

e. Particip. Adject. verb.

1. Οὐκ ὀφθαλμὸς τὸ[16]) κρῖνόν ἐστιν, ἀλλὰ νοῦς. **2.** Ἀνάγκη φίλον εἶναι τὸν συνηδόμενον τοῖς ἀγαθοῖς[2]) καὶ συναλγοῦντα τοῖς λυπηροῖς[2]). **3.** Πρέπει τοὺς δόξης

---

1) v. *συνοράω*. 2) neutr. 3) s. XIII, b, 45, 1. 4) gen. comp. 5) *dadurch — dass*. 6) *davon, dass sie*. 7) *daraus, dass man*. 8) sc. *ἔργα*. 9) im Deutschen durch substantiva. 10) *liegt*. 11) 3. pl. imperf. ind. act. v. *παρίστημι*. 12) *weil von ihr der Glaube herrschte, dass sie*. 13) *um — zu*. 14) v. *αἱρέω*. 15) mit *wenn man*. 16) s. XIII, a, 28, 15.

ὀρεγομένους[1]) καὶ παιδείας ἀντιποιουμένους[1]) τῶν σπουδαίων εἶναι[1]) μιμητάς. 4. Κοινὸν[2]) τύχη, γνώμη δὲ[3]) τῶν κεκτημένων[4]). 5. Οἱ νόμοι ζημίαι μόνον εἰσὶ τοῖς ἁμαρτάνουσιν. 6. Τῷ φθόνῳ τοῦτο μόνον ἀγαθὸν πρόςεστιν[5]), ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. 7. Οὐδέν ἐστ᾽ ὄφελος πόλεως, ἥτις μὴ νεῦρα ἐπὶ τοὺς ἀδικοῦντας ἔχει. 8. Τὰ[6]) σώσοντα τῶν ῥᾴστων καὶ ἡδίστων προαιρετέον.

9. Ὁ πάνθ᾽ ὁρῶν καὶ πάντ᾽ ἀκούων πάντ᾽ ἀναπτύσσει χρόνος. 10. Ἰδών[7]) τινα Πλάτων[8]) φαῦλα μὲν πράττοντα[9]), δίκας δὲ ὑπὲρ ἑτέρων λέγοντα[9]) εἶπεν, Οὗτος νοῦν ἐπὶ γλώσσῃ φέρει.

11. Ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς
Φανεῖσα[10]) μᾶλλον[11]), ἢ τὸ προςδοκώμενον.

12. Ἀδύνατον πολλὰ τεχνώμενον[9]) ἄνθρωπον πάντα καλῶς ποιεῖν. 13. Πολλά φασι καὶ ἵππον ἀνθρώποις τοῖς ὀφθαλμοῖς[12]) προορῶντα[13]) δηλοῦν, πολλὰ δὲ καὶ τοῖς ὠσὶ[12]) προακούοντα[13]) σημαίνειν. 14. Τὸν μὲν ἰσχυρὸν πονοῦντα[14]) δεῖ κτᾶσθαι τἀγαθά, καὶ τὸν ἀνδρεῖον κινδυνεύοντα[14]), τὸν δέ γε σοφὸν λέγοντα[14]). 15. Πλούτῳ πεποιθὼς[15]) ἄδικα μὴ πειρῶ ποιεῖν. 16. Οἱ μὲν εἰδότες[16]) ὅ,τι ποιοῦσιν, ἐπιτυγχάνοντες[17]) ὧν[18]) πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται· οἱ δὲ μὴ εἰδότες ὅ,τι ποιοῦσιν, οἷς ἂν[19]) ἐπιχειρήσωσιν ἀποτυγχάνοντες[17]) ἀδοξοῦσι διὰ ταῦτα, καὶ καταφρονούμενοι καὶ ἀτιμαζόμενοι ζῶσιν. 17. Ἰκάριος λαβὼν[20]) παρὰ Διονύσου κλῆμα ἀμπέλου καὶ τὰ[21]) περὶ[21]) τὴν οἰνοποιίαν μα-

---

1) acc. c. inf. 2) sc. ἐστί. 3) sc. ἐστί, *ist im Besitz derer, welche.* 4) sc. αὐτήν. 5) v. πρόςειμι. 6) s. XIII, a, 28, 15. 7) v. ὁράω, mit *als.* 8) der Comödiendichter. 9) mit *welcher.* 10) mit *welche;* verbinde: ἡ χάρ. ἐκ τῶν ἀέλ. φαν. μείζ. (ἐστὶ). βροτ. 11) nach einem comp. im Deutschen nicht nothwendig zu übersetzen. 12) womit? 13) mit *indem.* 14) im Deutschen das substant. mit *durch.* 15) v. πείθω, im Deutschen das substant. mit *in.* 16) v. οἶδα. 17) mit *und.* 18) statt τούτων, ἅ. 19) s. ἄν, 2. 20) mit *welcher,* v. λαμβάνω. 21) *dasjenige, was* (zu etwas) *gehört.*

θών[1]), τὰς τοῦ θεοῦ δωρήσασθαι θέλων[2]) χάριτας ἀνθρώποις, ἀφικνεῖται πρός τινας ποιμένας· οἱ δὲ γευσάμενοι[3]) τοῦ ποτοῦ καὶ χωρὶς ὕδατος δι' ἡδονὴν ἀφειδῶς ἑλκύσαντες[3]), πεφαρμάχθαι νομίζοντες[2]) ἀπέκτειναν αὐτόν. 18. Ἀγησίλαος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς ἐρωτηθείς, τίνα[4]) δεῖ τὸν στρατηγὸν ἔχειν, εἶπε, Πρὸς μὲν τοὺς πολεμίους τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν, πρὸς δὲ τοὺς καιροὺς λογισμόν. 19. Κάτων ὁ πρεσβύτερος τῆς πολυτελείας καθαπτόμενος[5]) εἶπεν, ὡς χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα μὴ ἔχουσαν[6]). 20. Μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες[7]) τοὺς πιστεύσαντας ἀδικοῦσιν. 21. Ἔστι[8]) νοῦν ἐχόντων ἀνδρῶν, οἷσπερ[9]) ἂν[10]) ἐν ταῖς μάχαις ἡγεμόσι[9]) χρώμενοι[9]) κατορθῶσι, τούτοις καὶ περὶ τῶν μελλόντων κινδύνων συμβουλεύουσι[11]) μᾶλλον ἢ τοῖς ἄλλοις πείθεσθαι. 22. Λάλος ἐστὶν ὁ χρόνος· οὐκ[12]) ἐρωτῶσι[12]) λέγει. 23. Αἰσχίνης ὁ Σωκρατικὸς ἐπιπληχθείς[13]), ὅτι Σωκράτει ἐσχολακὼς[14]) σιωπᾷ, Οὐ γὰρ μόνον, εἶπε, λέγειν ἔμαθον[15]) παρὰ Σωκράτει, ἀλλὰ καὶ σιωπᾶν. 24. Παρὰ τῷ τύφῳ καθάπερ παρὰ κακῷ πλάστῃ διεστραμμένας τὰς τῶν πραγμάτων εἰκόνας ἰδεῖν[16]) ἐστιν[17]). 25. Διογένης ἔφη νομίζειν ὁρᾶν τὴν Τύχην ἐνορῶσαν[18]) αὐτῷ καὶ λέγουσαν[18]), Τοῦτον δ' οὐ δύναμαι βαλέειν[19]) κύνα λυσσητῆρα. 26. Ὁρῶμεν τὰς χαλεπότητας[20]) λυπηρὰς οὔσας[21]) καὶ τοῖς ἔχουσι καὶ τοῖς ἐντυγχάνουσιν. 27. Ἔχαιρεν Ἀγησίλαος

---

1) mit *welcher*, v. μανθάνω. 2) mit *und*. 3) mit *nachdem*. 4) welcher Casus? 5) mit *indem*, oder statt des part. die praep. *gegen*. 6) mit *da*. 7) mit *wenn man*. 8) wie das lat. est hominum prudentium. 9) *unter deren Anführung*; wörtlich? 10) s. ἄν, 2. 11) mit *wenn*. 12) mit *ohne dass man*; wörtlich? 13) mit *als*. 14) mit *obwohl, nachdem doch*. 15) v. μανθάνω. 16) v. ὁράω. 17) s. ἐστί im Wörterverzeichniß. 18) mit *wie*. 19) = βαλεῖν. Die Worte sind ein Vers aus der Ilias (8, 299). 20) im Deutschen d. sg. 21) mit *dass*.

τοὺς μὲν αἰσχροκερδεῖς πένητας ὁρῶν[1]), τοὺς δὲ δικαίους πλουσίους ποιῶν[1]), βουλόμενος[2]) τὴν δικαιοσύνην τῆς ἀδικίας κερδαλεωτέραν καθιστάναι[3]).

28. Ὅταν ἁμαρτάνῃς τι, χαῖρ' ἡττώμενος[4]),
Μάλιστα γὰρ οὕτω σώζεται τὸ συμφέρον.

29. Οἱ Ἀθηναῖοι ὑπὲρ δόξης τὰς ἰδίας οὐσίας προςαναλίσκοντες διετέλουν[5]). 30. Σωκράτης οὐδὲν ἄλλο ποιῶν[6]) διαγεγένηται[6]) ἢ πράττων τὰ δίκαια καὶ τῶν ἀδίκων ἀπεχόμενος. 31. Αἱ ἐπιθυμίαι αἰκιζόμεναι[7]) τὰ σώματα τῶν ἀνθρώπων καὶ τὰς ψυχὰς οὔποτε λήγουσιν, ἔστ' ἂν ἄρχωσιν αὐτῶν. 32. Οὕτω πειρῶ ζῆν, ὡς[8]) καὶ ὀλίγον καὶ πολὺν χρόνον βιωσόμενος[8]). 33. Ἦλθον[9]) Πέρσαι παμπληθεῖ στόλῳ ὡς[10]) ἀφανιοῦντες[10]) τὰς Ἀθήνας.

34. Δυοῖν λεγόντοιν[11]) θατέρου θυμουμένου[12])
Ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.

35. Πλάτων Ἀντισθένους[13]) ἐν τῇ διατριβῇ ποτε μακρολογήσαντος[13]), Ἀγνοεῖς, εἶπεν, ὅτι τοῦ λόγου μέτρον ἐστὶν οὐχ ὁ λέγων, ἀλλ' ὁ ἀκούων. 36. Δημοσθένης λοιδορουμένου[13]) τινὸς[13]) αὐτῷ, Οὐ συγκαταβαίνω, εἶπεν, εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός[14]) ἐστι κρείττων. 37. Διογένης ἄσωτον ᾔτει μνᾶν· τοῦ[15]) δὲ εἰπόντος[13]), Διὰ τί τοὺς ἄλλους τριωβόλους, ἐμὲ δὲ μνᾶν ζητεῖς; ἔφη, Παρὰ μὲν τῶν ἄλλων ἐλπίζω πάλιν λαβεῖν[16]), παρὰ δὲ σοῦ οὐκέτι. 38. Πύρρου[13]) ἐπιστρατεύσαντος[13]) Λακεδαιμονίοις καὶ πολλὰ ἀπειλοῦντος[13]) Δερκυλλίδας, εἷς τῶν γερόντων, ἀναστὰς[17]) ἐν τῇ ἐκκλησίᾳ, εἶπεν,

---

1) s. χαίρω. Doch kann auch der inf. mit *zu* gesetzt werden. 2) mit *weil*. 3) inf. praes. act. v. καθίστημι. 4) s. χαίρω, oder durch den inf. mit *zu*. 5) s. διατελέω. 6) s. διαγίγνομαι. 7) abhängig von λήγουσιν, durch den inf. mit *zu*. 8) *wie wenn, als ob du — solltest*. 9) v. ἔρχομαι. 10) durch *um — zu*. 11) abhängig von θατέρου, den gen. mit *von*. 12) gen. absol. mit *wenn*. 13) gen. absol. mit *als*. 14) gen. comparat. 15) s. ὁ, 1. 16) v. λαμβάνω. 17) part. aor. 2. act. v. ἀνίστημι, *stand auf, und*.

Εἰ μὲν θεός ἐστιν ὁ ἀπειλῶν, μὴ φοβώμεθα[1], *οὐδὲν γὰρ ἀδικοῦμεν, εἰ δ' ἄνθρωπος, γνώτω*[2]) *ἀνδράσιν ἀπειλῶν*[3]). **39.** *Ὅσα ἂν*[4]) *νοῦς τε καὶ διάνοια ἐργάσηται, ταῦτά ἐστι τὰ ἐπαινετά, ἃ δὲ μή, ψεκτά.* **40.** *Τὸ ἀκουστὸν ὑπὸ τοῦ ὁρατοῦ πέφυκε φθάνεσθαι*[5]). **41.** *Οὐ πρό γε τῆς ἀληθείας τιμητέος ἀνήρ.* **42.** *Οἱ συμμαχεῖν ἐθέλοντες εὖ*[6]) *ποιητέοι.* **43.** *Τῷ νόμῳ πειστέον.* **44.** *Οὔποτε εὐδαιμονιστέον τὸν ἔτι ζῶντα διὰ τὸ τῆς τύχης ἄδηλον.* **45.** *Τὰ νοσήματα, ὅσα μὴ μεγάλους ἔχει κινδύνους, οὐκ ἐρεθιστέον φαρμακείαις.* **46.** *Φρόνησίς ἐστιν ἐπιστήμη ὧν*[7]) *ποιητέον καὶ οὐ ποιητέον καὶ οὐδετέρων*[8])· *σωφροσύνη δ' ἐστὶν ἐπιστήμη αἱρετῶν καὶ φευκτῶν καὶ οὐδετέρων*[8]). **47.** *Παρασκευαστέον ἱππάρχῳ, ὅπως εὐπειθεῖς οἱ ἄνδρες ὦσιν*[9])· *ἄνευ γὰρ τούτου*[10]) *οὔθ' ἵππων ἀγαθῶν οὔτε ἱππέων ἐπόχων οὔτε ὅπλων καλῶν ὄφελος οὐδέν*[11]). **48.** *Ταῖς τῶν γεωργῶν γυναιξίν, οἷς*[12]) *ἂν*[4]) *ἔργον ἔνδον ἐργαστέον, τούτων*[12]) *ἐστὶν ἐπιστατητέον, καὶ τὰ εἰςφερόμενα ἀποδεκτέον, καὶ ἃ μὲν ἂν*[4]) *αὐτῶν*[13]) *δέῃ δαπανᾶν, διανεμητέον*[14]), *ἃ δὲ ἂν*[4]) *περιττεύειν δέῃ, προνοητέον καὶ φυλακτέον.* **49.** *Περὶ τῶν αὐτῶν*[10]) *οὐχ ὁμοίως ἅπασι βουλευτέον· Ἐπιδαυρίοις μὲν γὰρ οὐδεὶς ἂν*[15]) *ἐπιπλήξειεν, εἰ μηδενὸς ἄλλου φροντίζοιεν ἢ τοῦ*[16]) *διαγενέσθαι· Λακεδαιμονίους*[17]) *δ' οὐχ οἷόν τ' ἐστὶν ἐκ*[18]) *παντὸς τρόπου ζητεῖν*[17]) *τὴν σωτηρίαν, ἀλλ' ἂν*[19]) *μὴ προςῇ*[20]) *τὸ καλῶς*[21]) *τῷ σώζεσθαι, τὸν θάνατον αὐτοῖς μετ' εὐδοξίας αἱρετέον ἐστίν· τοῖς*

---

1) den conj. durch *lasst uns, wollen wir.* 2) 2. sg. imperat. aor. 2. v. *γιγνώσκω.* 3) mit *dass.* 4) s. *ἄν*, 2. 5) s. bei *φύω.* 6) s. bei *ποιέω.* 7) statt *τούτων, ἅ.* 8) *dessen, wobei keines von beiden nothwendig ist,* (was man sowohl thun als lassen, sowohl ergreifen als vermeiden kann). 9) v. *εἰμί.* 10) neutr. 11) sc. *ἐστίν.* 12) mascul. es ist das Gesinde gemeint. 13) neutr. *davon.* 14) v. *διανέμω.* 15) s. *ἄν*, 3. 16) *darum, dass sie.* 17) acc. c. inf. abhängig von *οὐχ οἷόν τ' ἐστίν.* 18) *auf.* 19) s. *ἄν*, 1. 20) v. *πρόςειμι.* 21) sc. *σώζεσθαι.* Im Deutschen durch substant. *wenn sich nicht die Rettung mit der Ehre vereinigen lässt,* wörtlich?

γὰρ ἀρετῆς ἀμφισβητοῦσιν ὑπὲρ οὐδενὸς οὕτω σπουδαστέον, ὡς ὑπὲρ [1]) τοῦ [1]) μηδὲν αἰσχρὸν φανῆναι πράττοντας.

XVII.

Verba auf μι.

a. τίθημι, ἵημι.

1. Ζεὺς πάντα τίθησιν, ὅπῃ θέλει. 2. Τῶν ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει, ἀβεβαιότατον γάρ ἐστιν ὧν[2]) κεκτήμεθα. 3. Εἰ βούλει πλούσιόν τινα ποιῆσαι, μὴ τοῖς χρήμασι προςτίθει, τῆς δὲ ἐπιθυμίας ἀφαίρει. 4. Χείλων ἐρωτηθείς, τί χαλεπώτατον; Τὸ γιγνώσκειν ἑαυτόν, ἔφη· πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον[3]) ἑαυτῷ προςτιθέναι[3]). 5. Ἀλέξανδρος Φωκίωνι μόνῳ τῷ στρατηγῷ γράφων[4]) προςετίθει τὸ[5]) χαίρειν. 6. Φρύγες οὐ κατώρυττον τοὺς ἱερέας τελευτήσαντας, ἀλλ' ἐπὶ λίθους δεκαπήχεις ἐτίθεσαν ὀρθούς. 7. Πάνηβοι Λίβυες, ὅτε αὐτοῖς βασιλεὺς ἀποθάνοι[6]), τὸ μὲν σῶμα κατώρυττον, τὴν δὲ κεφαλὴν ἀποκόψαντες[7]) καὶ χρυσώσαντες[7]) ἀνετίθεσαν ἐν ἱερῷ. 8. Οὐδένα θησαυρὸν καταθήσεις παισὶν ἀμείνω αἰδοῦς[8]). 9. Λυκοῦργος ἐπήρετο[9]) τὸν θεόν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ Σπάρτῃ πειθομένῃ[4]) οἷς[10]) αὐτὸς ἔθηκε νόμοις[10]). 10. Ἅρπαγος ἐπιστολὴν Κύρῳ κρύφα πέμπων[11]) ἀνέσχισε λαγὼν καὶ τὰ γράμματα ἔνδον κατακρύψας[12]) πάλιν αὖθις συνέρραψε[13])· τῷ δὲ κομίζοντι λίνα θηρατικὰ περιέθηκεν, ἵνα λάθοι[14]) τοὺς φύλακας τῶν ὁδῶν. 11. Σπεύσιππος, ὃς Πλάτωνα διεδέξατο, Χαρίτων ἀγάλματα ἀνέθηκεν ἐν τῷ μουσείῳ τῷ ὑπὸ Πλάτωνος ἐν Ἀκαδημίᾳ ἱδρυθέντι[15]). 12. Μίνως καὶ

---

1) *darum, dass sie.* 2) statt τούτων, ἅ. 3) acc. c. inf. der orat. obl., s. XIV, c, 7, 14. 4) mit *wenn.* 5) *das Wort* χαίρειν, s. unter χαίρω. 6) v. ἀποθνήσκω. 7) mit *und.* 8) gen. comp. 9) s. ἐπηρόμην. 10) statt τοῖς νόμοις, οὕς. 11) mit *als — wollte.* 12) mit *nachdem.* 13) ν vor ρ zu ρ. 14) v. λανθάνω. 15) mit *welches.*

Λυκοῦργος νόμους ἐθέτην. 13. Ἀθηναῖοι Σωκράτην χαλκῇ εἰκόνι[1]) ἐτίμησαν, ἣν ἔθεσαν ἐν τῷ πομπείῳ. 14. Κίοι τοὺς ἀποθανόντας[2]) κατακαύσαντες[3]) καὶ ὀστολογήσαντες[3]) ἐν ὅλμῳ τὰ ὀστᾶ κατέπτισσον· εἶτα ἐνθέντες[3]) εἰς πλοῖον, καὶ κόσκινον λαβόντες[3]) ἀνέπλεον εἰς πέλαγος καὶ πρὸς τὸν ἄνεμον ἐξωδίαζον.

15. Ἐν τοῖς κινδύνοις ὁ ἱππεὺς τὸ αὑτοῦ σῶμα τῷ ἵππῳ παρακατατίθεται. 16. Οὐδένα θησαυρὸν καταθήσῃ ἔνδον ἀμείνω αἰδοῦς, ἣν ἀγαθοῖς ἀνδράσι δίδως[4]). 17. Ὅμηρον οἱ Ἀθηναῖοι ὑπέλαβον[5]) οὕτω σπουδαῖον εἶναι ποιητήν, ὥστε νόμον ἔθεντο καθ' ἑκάστην πενταετηρίδα τῶν Παναθηναίων μόνου τῶν ἄλλων ποιητῶν ῥαψωδεῖσθαι τὰ ἔπη. 18. Πολλάκις ἐπέθεντο τοῖς Λακεδαιμονίοις οἱ Εἵλωτες· ὥσπερ[6]) γὰρ ἐφεδρεύοντες τοῖς ἀτυχήμασι διετέλουν. 19. Ὅσῳ ἂν[7]) πλείω τις παραθῆται τὰ περιττὰ τῶν ἱκανῶν[8]), τοσούτῳ καὶ θᾶττον κόρος ἐμπίπτει τῆς ἐδωδῆς. 20. Κακὸν οὐδὲν φύεται ἐν ἀνδρὶ θεμέλια θεμένῳ[9]) σοφίας, σωφροσύνην καὶ ἐγκράτειαν. 21. Ὁ ἐν ἀέρι ὑπὸ δυοῖν κουφιζόμενος[9]) λίθος ἐν ὕδατι ῥᾳδίως μετατίθεται. 22. Κρίτων Ἀθηναῖος μάλιστα φιλοστοργότατα διετέθη πρὸς Σωκράτην καὶ οὕτως ἐπεμελεῖτο αὐτοῦ, ὥστε μηδέποτ' ἐλλείπειν τι τῶν[10]) πρὸς[10]) τὴν χρείαν.

23. Τῷ μὲν τὸ σῶμα[11]) διατεθειμένῳ κακῶς
Χρεία 'στὶν ἰατροῦ, τῷ δὲ τὴν ψυχὴν[11]) φίλου[12])·
Λύπην γὰρ εὔνους οἶδε[13]) θεραπεύειν λόγος.

24. Ὁ οἶνος μέτριος μὲν ληφθεὶς[14]) ῥώννυσι[15]), πλείων δὲ παρίησιν. 25. Τοὺς[16]) μηδεμίαν, ὧν[17]) ἂν[7]) εὖ πάθω-

---

1) womit? 2) v. ἀποθνήσκω. 3) mit *und*. 4) 2. sg. praes. ind. v. δίδωμι. 5) v. ὑπολαμβάνω. 6) *gleichsam*, weil ἐφεδρ. zum verb. finit., διετέλ. ein adverb. wird. 7) s. ἄν, 2. 8) gen. comp. 9) mit *welcher*. 10) *von dem, was — gehörte*. 11) *in Bezug auf, an*. Besser so gewendet, daß *Körper* und *Seele* die Subjekte sind. 12) sc. χρεία 'στίν. 13) 3. sg. praes. ind. v. οἶδα. 14) v. λαμβάνω, mit *wenn*. 15) 3. sg. praes. ind. v. ῥώννυμι. 16) gehört zu ἐκτίνοντας. 17) statt τούτων, ἅ, *für das, was*.

σιν[1]) *ὑπὸ σοῦ, χάριν ἐκτίνοντας ἄλλοι λεγέτωσαν ἀχαρίστους, σὺ δ' ἀνοήτους, ὅτι τοῦ καλλίστου τῶν ἀγαθῶν οὐ συνιᾶσιν.* 26. *Ξενοκράτης στρουθίου*[2]) *ποτὲ διωκομένου*[2]) *ὑπὸ ἱέρακος καὶ εἰςπηδήσαντος*[2]) *εἰς τοὺς κόλπους αὐτοῦ, καταψήσας*[3]) *μεθῆκεν, εἰπών*[4]), *Τὸν ἱκέτην δεῖ μὴ ἐκδιδόναι*[5]). 27. *Μήτε νὺξ μήτε ἡμέρα ἐπισχέτω σε, ὥςτε ἀνεῖναι πράσσειν τι.* 28. *Οἱ ἀδελφοὺς παρέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοι*[6]) *τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν.* 29. *Οἱ θεοὶ ἀγαθῶν τέ εἰσιν αἴτιοι καὶ τῶν εὐχρήστων, ἡμεῖς δέ ἐσμεν*[7]) *οἱ τὰς εὐεργεσίας αὐτῶν οὐ προςιέμενοι περιβάλλοντες*[4]) *ἡμᾶς αὐτοὺς κακοῖς αὐθαιρέτοις.*

b. *ἵστημι, δύναμαι, ἐπίσταμαι.*

1. *Ἀρίσταρχος τὸν ἥλιον ἵστησι μετὰ*[8]) *τῶν ἀπλανῶν, τὴν δὲ γῆν κινεῖσθαι*[9]) *περὶ τὸν ἡλιακὸν κύκλον.* 2. *Εἰ φοβησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς καταστήσομεν ἡμᾶς αὐτούς.* 3. *Γανυμήδην διὰ κάλλος ἀναρπάσας*[3]) *Ζεὺς δι' ἀετοῦ, θεῶν οἰνοχόον ἐν οὐρανῷ κατέστησεν.* 4. *Ἀθυμοῦντες ἄνδρες οὔπω τρόπαιον ἔστησαν.* 5. *Οὐ ῥάδιον ἄνοιαν ἐν μικρῷ μεταστῆσαι χρόνῳ.* 6. *Ἕως μὲν ἄν*[10]) *ᾖ*[11]) *περιφορὰ ἡ κινουμένη καὶ ὁ ἥλιος, πάντα ἐστὶ καὶ σώζεται ἐν ἀνθρώποις· εἰ δὲ σταίη τοῦτο ὥσπερ δεθέν*[12]), *πάντα χρήματ' ἄν*[13]) *διαφθαρείη.*

7. *Ἐπὰν ὁ νοῦς ᾖ μὴ καθεστηκώς τινι,*
Οὐκ ἔστ' ἀκούειν οὐδὲν αὐτῷ οὐδ' ὁρᾶν.

8. *Ἰσοκράτης εἶπεν, ὅτι τὸν χρηστὸν καὶ ἀγαθὸν ἄνδρα δεῖ τῶν μὲν προγεγενημένων*[14]) *μεμνῆσθαι*[15]), *τὰ δὲ ἐνεστῶτα πράττειν, περὶ δὲ τῶν μελλόντων φυλάττεσθαι.*

---

1) v. *πάσχω*. 2) gen. abs. mit *als*. 3) mit *und*. 4) mit *indem*. 5) inf. praes. v. *ἐκδίδωμι*. 6) sc. *εἰσίν*. 7) 1. pl. praes. ind. v. *εἰμί*. 8) *unter*. 9) s. XIV, c, 7, 14. 10) s. *ἄν*, 2. 11) v. *εἰμί*. 12) v. *δέω*. 13) s. *ἄν*, 3. 14) v. *προγίγνομαι*. 15) v. *μιμνήσκω*.

9. Ὥςπερ τὸ σῶμα στερηθὲν[1]) ψυχῆς πίπτει, οὕτω καὶ πόλις μὴ ὄντων[2]) νόμων[2]) οὐχ ἵσταται. 10. Μελέτη χρονισθεῖσ' εἰς φύσιν καθίσταται. 11. Οἱ λαγῷ προλαμβάνοντες[1]) τὰς κύνας ἐφίστανται καὶ ἀνακαθίζοντες[3]) ἐπαίρουσιν αὑτοὺς καὶ ἐπακούουσιν, εἴ που πλησίον κλαγγὴ ἢ ψόφος τῶν κυνῶν· καὶ ὅθεν ἂν[4]) ἀκούσωσιν, ἀποτρέπονται. 12. Ἐκ σώματος καὶ ψυχῆς τοῦ ἀνθρώπου[5]) συνεστῶτος[5]), ἀνάγκη καὶ τὴν εὐζωΐαν αὐτοῦ περὶ ταῦτα καὶ διὰ τούτων συνίστασθαι. 13. Εὐρυβιάδου[6]) εἰπόντος[6]), Ὦ Θεμιστόκλεις, ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους ῥαπίζουσι, Ναὶ, εἶπεν ὁ Θεμιστοκλῆς, ἀλλὰ τοὺς ἀπολειφθέντας οὐ στεφανοῦσιν. 14. Ὁρῶν[7]) Μεγαρέας ὁ Διογένης τὰ μακρὰ τείχη ἱστάντας[8]), Ὦ μοχθηροί, εἶπε, μὴ τοῦ μεγέθους προνοεῖτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ' αὐτῶν στησομένων. 15. Ἐπεὶ Ἆγις ἐτελεύτησεν, ἐρισάντων[9]) περὶ τῆς ἀρχῆς Λεωτυχίδα[9]) μὲν ὡς[10]) Ἄγιδος ὄντος[10]) υἱοῦ, Ἀγησιλάου[9]) δὲ ὡς[11]) Ἀρχιδάμου, κρίνασα[3]) ἡ πόλις, ἀνεπικλητότερον εἶναι Ἀγησίλαον καὶ τῷ[12]) γένει καὶ τῇ ἀρετῇ, τοῦτον ἐστήσατο βασιλέα. 16. Ἐριχθόνιος ἐν Ἀθήναις τὸ ἐν ἀκροπόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο καὶ τῶν Παναθηναίων τὴν ἑορτὴν συνεστήσατο. 17. Μίνως τοὺς τὴν Ἀττικὴν οἰκοῦντας παρεστήσατο εἰς χαλεπήν τινα φορὰν δασμοῦ. 18. Οἱ Λακεδαιμόνιοι τὴν πολιτείαν ὁμοίαν κατεστήσαντο στρατοπέδῳ καλῶς διοικουμένῳ[13]) καὶ καλῶς πειθαρχεῖν ἐθέλοντι[13]) τοῖς ἄρχουσιν. 19. Εἰς ἀρχὴν κατασταθεὶς[1]) μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν[14]) γὰρ ἂν[15]) ἐκεῖνος ἁμάρτῃ[16]), σοὶ τὰς αἰτίας ἀναθήσουσιν[16]).

20. Πολὺ πλέονες τῶν πολεμίων ἢ τῶν ἡδονῶν δύναν-

1) mit *wenn*. 2) gen. absol., v. ὤν, mit *wenn*. 3) mit *und*. 4) s. ἄν, 2. 5) gen. absol. mit *da*. 6) gen. absol. mit *als*. 7) mit *als*. 8) durch den inf. 9) gen. absol. mit *und* an den vorhergehenden Satz mit ἐπεί anzureihen. 10) *weil er — sei*, oder durch *als*. 11) sc. ὄντος υἱοῦ. 12) wodurch? 13) mit *welches*. 14) statt τούτων, ἅ. 15) s. ἄν, 2. 16) v. ἁμαρτάνω. 17) v. ἀνατίθημι.

ται κρατεῖν. 21. Μάλιστα τούτους τιμῶσιν ἅπαντες καὶ θαυμάζουσιν, οἵτινες ἀμφότερα δύνανται καὶ πολιτεύεσθαι καὶ στρατηγεῖν. 22. Ἀντισθένης τότ' ἔφη τὰς πόλεις ἀπόλλυσθαι [1]), ὅταν μὴ δύνωνται τοὺς φαύλους ἀπὸ τῶν σπουδαίων διακρίνειν. 23. Ὁπότε δῶρα διδοίη [2]) ὁ Περσῶν βασιλεύς, πρῶτον μὲν εἰςεκάλει τοὺς πολέμῳ ἀγαθοὺς γεγονότας [3]), δεύτερον δὲ τοὺς κατασκευάζοντας τὰς χώρας ἄριστα καὶ ἐνεργοὺς ποιοῦντας, λέγων [4]) ὅτι οὐδ' ἂν [5]) οἱ ἄλκιμοι δύναιντο ζῆν, εἰ μὴ εἶεν οἱ ἐργαζόμενοι. 24. Παντελῶς ἀπαιδεύτου [6]) τινός ἐστι τὸ [7]) μὴ δύνασθαι σιωπᾶν, ἀλλ' ἐκλαλεῖν τὰ μὴ καλῶς ἔχοντα. 25. Τὰ πλείω ἡμᾶς τῶν πραγμάτων ἐκφεύγει τῷ [8]) μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ [8]) μὴ δύνασθαι. 26. Σχολαστικὸς νοσοῦντα ἐπισκεπτόμενος [9]) ἠρώτα περὶ τῆς ὑγιείας· ὁ δὲ οὐκ ἠδύνατο ἀποκριθῆναι. ὀργισθεὶς οὖν ἐξήλεγξεν, Ἐλπίζω κἀμὲ [10]) νοσῆσαι, καὶ ἐλθόντι [11]) σοι μὴ ἀποκριθῆναι. 27. Σίνις, οἰκῶν [12]) τὸν Κορινθίων ἰσθμόν, ἠνάγκαζε τοὺς παριόντας [13]) πίτυς κάμπτοντας [9]) ἀνέχεσθαι· οἱ δὲ διὰ τὴν ἀσθένειαν οὐκ ἠδύναντο κάμπτειν, καὶ ὑπὸ τῶν δένδρων ἀναρριπτούμενοι [9]) πανωλέθρως ἀπώλλυντο [14]). ταὐτῷ δὲ τρόπῳ Θησεὺς αὐτὸν ἀπέκτεινεν. 28. Μεγάλην παιδείαν νόμιζε, δι' ἧς δυνήσῃ φέρειν ἀπαιδευσίαν. 29. Ἢν καλῶς ἄρχεσθαι μάθωμεν [15]), πολλῶν ἄρχειν δυνησόμεθα.

30. Τὰς ὁμοιότητας πανταχοῦ ὁ τὴν ἀλήθειαν εἰδὼς [16]) κάλλιστα ἐπίσταται εὑρίσκειν. 31. Ὠφέλιμά ἐστι πάντα, ὁπόσοις τις ἐπίσταται χρῆσθαι. 32. Τῆς ἐπιμελείας ὄφελος οὐδὲν ἂν [5]) γίγνοιτο, εἰ μή τις ἐπίσταιτο, ἃ δεῖ καὶ ὡς δεῖ ποιεῖν. 33. Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν. 34. Ἄρχεσθαι μαθὼν [17]) ἄρχειν ἐπιστήσῃ.

---

1) inf. praes. pass. v. *ἀπόλλυμι*. 2) 3. sg. praes. optat. act. v. *δίδωμι*. 3) v. *γίγνομαι*. 4) mit *indem*. 5) s. *ἄν*, 3. 6) der gen. wie im Lat. hominis rudis est. 7) s. XIII, b, 45, 1. 8) *dadurch, dass*. 9) mit *und*. 10) = *καὶ ἐμέ*. 11) mit *wenn*, v. *ἔρχομαι*. 12) mit *welcher*. 13) part. v. *πάρειμι*, *-ιέναι*. 14) 3. pl. imperf. pass. v. *ἀπόλλυμι*. 15) v. *μανθάνω*. 16) part. v. *οἶδα*. 17) v. *μανθάνω*, mit *wenn*.

c. *δίδωμι.*

1. *Τὸν κατὰ νοῦν*[1] *βίον καὶ τὸν ἐχόμενον θεοῦ*[2] *διαζῆν μελετητέον· οὗτος γὰρ ἡμῖν μόνος ἀποδίδωσι τὴν ἀδέσποτον τῆς ψυχῆς ἐξουσίαν, ἀπολύει τε ἡμᾶς τῶν ἀναγκαίων δεσμῶν.* 2. *Οἱ βραδεῖς, ἂν*[3] *παιδευθῶσι καὶ γυμνάσωνται, εἴς*[4] *γε τὸ*[4] *ὀξύτεροι αὐτοὶ αὑτῶν*[5] *γίγνεσθαι πάντες ἐπιδιδόασιν.* 3. *Δεῖ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους*[6] *ἐλπίδα, φέρειν δ', ὃ ἂν*[7] *θεὸς διδῷ, γενναίως.* 4. *Αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδικοῦντες δίκην διδῶσιν.* 5. *Οἱ σοφισταὶ τοῖς μὴ ἔχουσι χρήματα διδόναι*[8] *οὐκ ἔθελον διαλέγεσθαι.* 6. *Μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.* 7. *Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα, περὶ ὧν ἀμφιγνοεῖς, ἔχῃς τοὺς*[9] *συνδοκιμάσοντας.* 8. *Τὸ τῆς Στυγὸς ὕδωρ, ἐκ πέτρας ἐν Ἅιδου*[10] *ῥέον*[11]*, Ζεὺς ἐποίησεν ὅρκον*[12]*, ταύτην αὐτῇ τιμὴν διδοὺς*[13] *ἀνθ' ὧν*[14] *αὐτῷ κατὰ Τιτάνων μετὰ τῶν παίδων συνεμάχησεν.* 9. *Θεοῦ*[15] *διδόντος*[15] *οὐδὲν ἰσχύει φθόνος.* 10. *Τροφώνιος καὶ Ἀγαμήδης ποιήσαντες*[16] *ἐν Δελφοῖς ναόν, ᾔτουν παρὰ τοῦ Ἀπόλλωνος τὸν μισθόν. ὁ δὲ αὐτοῖς ἔφη δώσειν τῇ ἑβδόμῃ ἡμέρᾳ, καὶ ταύτῃ ἀπέθανον*[17]. 11. *Τὸν ἀδικοῦντα παρὰ τοὺς δικαστὰς ἄγειν δεῖ δίκην δώσοντα*[18]. 12. *Λυκοῦργος βασιλεῖ ἔδωκε τοσαῦτα, ὥςτε μήτε δεῖσθαι τῶν μετρίων μήτε πλούτῳ ὑπερφέρειν.* 13. *Ζεὺς Πολυδεύκην, τὸν Κάστορος ἀδελφόν, εἰς οὐρανὸν ἀνήγαγε· μὴ δεχομένου*[19] *δὲ Πολυδεύκους*[19] *τὴν ἀθανασίαν ὄντος*[20] *νεκροῦ Κάστορος*[20],

---

1) s. *κατά*. 2) s. *ἔχω*. 3) s. *ἄν*, 1. 4) *so weit wenigstens, dass sie; τό* gehört zu *γίγνεσθαι*. 5) gen. comp., d. h. im Vergleich zu sich selbst in ihrem vorherigen Zustande. 6) mit *indem*. 7) s. *ἄν*, 2. 8) abhängig von *ἔχουσι*. 9) *solche, welche*. 10) s. XIV, b, 11, 1. 11) mit *welches*. 12) wozu? 13) mit *und* an den vorausgehenden Satz anzureihen. 14) s. *ἀντί*. 15) gen. absol. mit *wenn*. 16) mit *als*. 17) v. *ἀποθνήσκω*. 18) mit *damit*, s. *δίκη*. 19) gen. absol. mit *da*. 20) gen. absol. mit *während*.

Ζεὺς ἀμφοτέροις παρ' ἡμέραν[1]) *καὶ ἐν θεοῖς εἶναι καὶ ἐν θνητοῖς ἔδωκεν.* 14. *Ἀνακρέων δωρεὰν παρὰ Πολυκράτους λαβὼν*[2]) *πέντε τάλαντα, ὡς ἐφρόντισεν ἐπ' αὐτοῖς δυοῖν νυκτοῖν*[3]), *ἀπέδωκεν αὐτὰ εἰπών, οὐ τιμᾶσθαι αὐτὰ*[4]) *τῆς ἐπ' αὐτοῖς φροντίδος.*

15. *Τίς ἂν*[5]) *δίκην κρίνειεν, ἢ δοίη*[6]) *λόγον,*
Πρὶν ἂν[7]) *παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ*[8]) *σαφῶς.*

16. *Ὦ θεοί, δοίητέ*[9]) *μοι καλῷ*[10]) *γενέσθαι τἄνδοθεν*[11]). 17. *Παρακαταθήκην λαβὼν*[12]) *δικαίως ἀπόδος.* 18. *Ὅστις τοῦ*[13]) *μὲν μὴ ἀδικεῖν οὐ προνοεῖται, τοῦ*[13]) *δὲ μὴ δοῦναι*[14]) *δίκην ἐπιμελεῖται, κακουργεῖ.* 19. *Μέναιχμον*[15]) *τὸν γεωμέτρην Ἀλέξανδρος ἠξίου συντόμως αὐτῷ παραδοῦναι*[15]) *τὴν γεωμετρίαν· ὁ*[16]) *δέ, Ὦ βασιλεῦ, εἶπε, κατὰ μὲν τὴν χώραν ὁδοί εἰσιν ἰδιωτικαὶ καὶ βασιλικαί, ἐν δὲ τῇ γεωμετρίᾳ πᾶσίν ἐστιν ὁδὸς μία.* 20. *Ἀρίστιππος ᾔτει Διονύσιον ἀργύριον, καὶ ὅς*[17]), *Ἀλλὰ μὴν ἔφης*[18]) *οὐκ ἀπορήσειν τὸν σόφον; ὁ δὲ ὑπολαβών*[19]), *Δός, εἶπε, καὶ περὶ τούτου ζητῶμεν*[20])· *δόντος*[21]) *δέ, Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἠπόρηκα;* 21. *Εἰς συμπόσιον μὲν παρακληθέντες*[22]) *τῷ παρόντι*[23]) *χρώμεθα, εἰ δέ τις κελεύοι τὸν ὑποδεχόμενον ἰχθῦς αὐτῷ παρατιθέναι ἢ πλακοῦντας, ἄτοπος ἂν*[5]) *δόξειεν· ἐν δὲ τῷ κόσμῳ αἰτοῦμεν θεὸν ἃ μὴ δίδωσι, καὶ ταῦτα*[24]) *πολλῶν ὄντων*[25]), *ἅ γε ἡμῖν δέδωκεν.* 22. *Οἱ πεῖραν οὐ δεδωκότες μᾶλλον δοκοῦντες*[26]) *ἢ πεφυκότες*[26]) *σοφοί.*

---

1) s. *παρά*. 2) v. *λαμβάνω*, im Deutschen das verb. fin. und das Folgende mit *aber* angereiht. 3) wann? dat. durch *in*. 4) acc. abhängig von *τιμᾶσθαι*. 5) s. *ἄν*, 3. 6) s. *λόγος*. 7) s. *ἄν*. 2. 8) v. *ἐκμανθάνω*. 9) als Wunsch mit *mögen*, oder durch den imperat. 10) s. XIV, d, 19, 22. 11) = *τὰ ἔνδοθεν*, acc. durch *in*. 12) mit *wenn;* v. *λαμβάνω*. 13) *dafür, dass er*. 14) s. *δίκη*. 15) acc. c. inf. im Deutschen durch die Wendung: *Von M. —, dass er*. 16) s. *ὁ*, 1. 17) = *οὗτος*, sc. *εἶπεν*. 18) 2. sg. impf. ind. v. *φημί*. 19) v. *ὑπολαμβάνω*, mit *und*. 20) durch *lass uns*. 21) sc. *Διονυσίου*, gen. absol. mit *als*. 22) mit *wenn;* v. *παρακαλέω*. 23) neutr. 24) s. *οὗτος*. 25) neutr. gen. absol. mit *obwohl*. 26) sc. *εἰσίν*, zu übersetzen als ob stünde *δοκοῦσιν ἢ πεφύκασιν*.

23. Ἐπὶ τῶν δείπνων, ὅτε ἄκρατος οἶνος ἐπιδιδοῖτο, προςεπέλεγον, Ἀγαθοῦ δαίμονος[1]). 24. Οἱ[2]) ἐν τῇ ἀγορᾷ φροντίζουσιν, ὅ,τι ἐλάττονος πριάμενοι[3]) πλείονος ἀποδῶνται. 25. Σίμων Ἀθηναῖος σκυτοτόμος, ἐρχομένου[4]) Σωκράτους[4]) ἐπὶ τὸ ἐργαστήριον καὶ διαλεγομένου[4]) τινά, ὧν[5]) ἐμνημόνευεν ὑποσημειώσεις ἐποιεῖτο· ἐπαγγειλαμένου[6]) δὲ Περικλέους[6]) θρέψειν[7]) αὐτὸν καὶ κελεύοντος[6]) ἀπιέναι[8]) πρὸς αὐτόν, οὐκ ἄν[9]) ἔφη τὴν παρρησίαν ἀποδόσθαι. 26. Τοῖς μὲν ἡγεῖσθαι δέδοται, τοῖς δ' ἕπεσθαι τέτακται.

d. δείκνυμι, ἄγνυμι, εἴργνυμι, μίγνυμι, οἴγνυμι, ῥήγνυμι, ῥώννυμι, σβέννυμι, σκεδάννυμι.

1. Ὁ μὴ φρονῶν μέν, πολλὰ δ' ἐφ' ἑκάστου λαλῶν
Δείκνυσιν αὐτοῦ τὸν τρόπον τοῖς ῥήμασιν[10]).

2. Ποτέρως ἄν[11]) τινα κρίνειας ἀξιοφίλητον μᾶλλον εἶναι, εἴ σοι αὐτὰ τὰ ὄντα ἀποδεικνύοι, ἢ εἴ σε πειρῷτο ἐξαπατᾶν; 3. Ἀριστοτέλης τοὺς τὰ ἐναργῆ πράγματα πειρωμένους δεικνύναι ὅμοιον ἔφη ποιεῖν τοῖς[12]) διὰ λύχνου τὸν ἥλιον φιλοτιμουμένοις δεικνύναι. 4. Ἐν Ἰλίῳ θύοντι[13]) Ἀλεξάνδρῳ ἔφη ὁ ἱερεὺς δείξειν[14]) τὴν Πάριδος λύραν· ὁ[15]) δέ, Τὴν[16]) Ἀχιλλέως, εἶπεν, εἰ ἔχεις, δεῖξον, καὶ πρό γε τῆς λύρας τὴν μελίαν. 5. Ὁ τὸν ἑαυτοῦ παῖδα πολλοῦ ἄξιον ἀποδείξας, κἂν[17]) ὀλίγα καταλίπῃ, πολλὰ ἔδωκεν. 6. Λάκαινά τις πρός τινα Ἰωνικὴν δείξασαν[18]) αὐτῇ τὸν κόσμον, ἀνταπέδειξε τὰ τέκνα εἰποῦσα, Ὁ δὲ ἐμὸς κόσμος τοιοῦ-

---

1) ein gen. absol. ähnlich wie im Lat. deo propitio, patre invito u. ä. *dass Gott dir gut sei! Gott gönne es!* Vor der Uebersetzung sind dazu die griechischen Worte zu setzen. 2) *die Leute.* 3) mit *und*, s. ὠνέομαι. 4) gen. absol. mit *da.* 5) *von dem, dessen.* 6) gen. absol. mit *als.* 7) das praes. beginnt mit τ; warum? 8) inf. v. ἄπειμι. 9) s. ἄν, 5. 10) wodurch? 11) s. ἄν, 3. 12) im Deutsch. den nom. mit *wie.* 13) mit *als.* 14) s. XIV, c, 7, 14. 15) s. ὁ, 1. 16) sc. λύραν. 17) = καὶ ἄν, s. ἄν. 1. 18) mit *welche.*

τος[1]). 7. *Οἱ τῶν Περσῶν βασιλεῖς ἀπεδείκνυντο μὲν ἐκ τῶν ἱερέων ἢ τῶν μαχίμων, ὁ δ᾽ ἐκ τῶν μαχίμων ἀποδεικνύμενος εὐθὺς ἐγίγνετο τῶν ἱερέων*[2]), *καὶ μετεῖχε τῆς φιλοσοφίας*. 8. *Αὕτη*[3]) *γίγνεται ἡ θεοφιλεστάτη τε καὶ πολιτικωτάτη ἔρις, ἐν ᾗ ἀποδέδεικται μὲν ἃ δεῖ ποιεῖν τὸν ἀγαθόν, χωρὶς δ᾽ ἑκάτεροι ἀσκοῦσιν, ὅπως ἀεὶ κράτιστοι ἔσονται*[4]), *ἐὰν δέ τι*[5]) *δέῃ, καθ᾽ ἕνα*[6]) *ἀρήξουσι τῇ πόλει παντὶ σθένει*[7]).

9. *Μενοίτης ὁ τὰς Ἅιδου βόας νέμων*[8]) *προκαλεσάμενος*[9]) *εἰς πάλην Ἡρακλέα, ληφθεὶς*[10]) *μέσος καὶ τὰς πλευρὰς κατεάξας*[10]) *ὑπὸ Περσεφόνης παρῃτήθη*. 10. *Οἱ Λακεδαιμονίων ἔφοροι κύριοι ἦσαν καὶ ἄρχοντας μεταξὺ καταπαῦσαι, καὶ εἶρξαί τε καὶ περὶ τῆς ψυχῆς εἰς ἀγῶνα καταστῆσαι*[11]). 11. *Ἡ μουσικὴ ὀξεῖς ἅμα καὶ βαρεῖς, μακρούς τε καὶ βραχεῖς φθόγγους μίξασα*[12]) *ἐν διαφόροις φωναῖς μίαν ἀπετέλεσεν ἁρμονίαν*. 12. *Οὐ πάντα λευκά*[13]), *οἷς μέλανα μὴ μέμικται*. 13. *Ὠχρὸν γίγνεται λευκοῦ*[14]) *ξανθῷ μεμιγμένου*[14]). 14. *Πνευμάτων πολλὰ πολλαχοῦ γῆς στόμια ἀνέῳκται· καὶ τὰ μὲν ἐνθουσιᾶν ποιεῖ τοὺς ἐμπελάζοντας, τὰ δὲ χρησμῳδεῖν, ὥσπερ τὰ ἐν Δέλφοις, τὰ δὲ καὶ παντάπασιν ἀναιρεῖ*. 15. *Σεισμοί τινες οὐ πρότερον ἔληξαν πρὶν ἢ διαρραγῆναι τοὺς τόπους, ἐν οἷς ἐγένοντο*[15]). 16. *Ἀλέξανδρος νοσήσας*[16]) *μακρὰν νόσον, ὡς ἀνέρρωσεν, οὐδὲν ἔφη διατεθῆναι*[17]) *χεῖρον· ὑπέμνησε*[18]) *γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν ὡς*[19]) *θνητοὺς ὄντας*[19]). 17. *Ὁ εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄναρ χαίρει τε καὶ ἔρρωται καὶ πανακήδης ἐστίν*.

---

1) sc. *ἐστίν*. 2) Der gen. wird im Deutschen vermittelt durch die Einsetzung von *einer*. 3) Bleibt im Deutschen das femin.? 4) v. *εἰμί*, s. IX, 70, 22. 5) *in einem Falle*. 6) s. *κατά*. 7) womit? 8) mit *welcher*. 9) durch das verb. fin. Das folgende wird mit *aber* angereiht. 10) v. *λαμβάνω* und *κατάγνυμι*, mit *nachdem*. 11) v. *καθίστημι*. 12) mit *und*. 13) sc. *ἐστίν*. 14) gen. absol. mit *wenn*. 15) v. *γίγνομαι*. 16) mit *nachdem*. 17) v. *διατίθημι*. 18) v. *ὑπομιμνήσκω*. 19) *als solche — welche*, oder mit *weil*.

18. Εὖ μὲν φερομένης[1]) τῆς γεωργίας[1]) ἔρρωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι· ὅπου δ᾽ ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι[2]) καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. 19. Πυρὸς ἔχει τινὰ τρόπον πᾶσα πονηρία· ἀμφότερα χωρὶς τροφῆς ἀφανίζεται σβεννύμενα[3]). 20. Αἱ μέλιτται αἱρεθέντος[1]) ἢ διαφθαρέντος[1]) τοῦ βασιλέως[1]) διασκεδάννυνται.

e. ἀμφιέννυμι, κάθημαι, κεῖμαι, φημί.

1. Σωκράτης ἱμάτιον ἠμφίεστο οὐ μόνον φαῦλον, ἀλλὰ τὸ αὐτὸ θέρους[4]) καὶ χειμῶνος. 2. Ἡ μὲν ἰατρικὴ ὑγιαίνειν[5]) ποιήσει, ἡ δὲ σκυτικὴ ὑποδεδέσθαι[5]), ἡ δὲ ὑφαντικὴ ἠμφιέσθαι[5]). 3. Πολὺν πολλοὶ γέλωτα παρέχουσι καὶ ἐπὶ τῶν ἵππων καθήμενοι[6]) καὶ ἐπὶ τῆς γῆς καταπίπτοντες[6]). 4. Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθείς, διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, Οὐχ ἕστηκε γάρ, εἶπεν.

5. Βραχεῖ λόγῳ καὶ πολλὰ πρόςκειται σοφά.

6. Οὐκ αὐτὸς πάντ᾽ ἐπίστασθαι ἀνὴρ
Πέφυκεν· ἄλλῳ δ᾽ ἄλλο[7]) πρόςκειται γέρας.

7. Νομίζειν δεῖ τὴν εὐδαιμονίαν οὐκ ἐν[8]) τῷ[8]) πολλὰ κεκτῆσθαι γίγνεσθαι, ἀλλ᾽ ἐν[8]) τῷ[8]) τὴν ψυχὴν εὖ διακεῖσθαι. 8. Ζῆν[9]) κρεῖσσόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαρρεῖν ἢ ταράττεσθαι χρυσῆν ἔχοντα[10]) κλίνην. 9. Ἅπαντα καλλίω φαίνεται κατὰ κόσμον κείμενα[11]). 10. Οἰκίας οὐδὲν ὄφελος ἂν[12]) εἴη, εἰ τὰ ἄνω πάνυ καλὰ ἔχοι, μὴ ὑποκειμένων[13]) οἵων[14]) δεῖ θεμελίων. 11. Νόμους ὑπάρξαι δεῖ τοιούτους, δι᾽ ὧν τοῖς μὲν ἀγαθοῖς

---

1) gen. absol. mit *wenn*. 2) s. σχεδόν. 3) mit *indem*. 4) wann? s. VIII, 44, 15. 5) mit *dass man*. 6) mit *wie*. 7) wie das lat. alii aliud. 8) *dabei, dass man*. 9) s. κατάκειμαι. 10) als inf. mit *und* an den vorausgehenden inf. anzureihen. 11) mit *wenn*. 12) s. ἄν, 3. 13) mit *aber* an den vorhergehenden Satz anzuschließen. 14) statt τοιούτων, οἷα δεῖ ὑποκεῖσθαι.

ἔντιμος καὶ ἐλευθέριος ὁ βίος παρασκευασθήσεται, τοῖς δὲ κακοῖς ταπεινὸς ὁ αἰὼν ἐπανακείσεται.

12. Ἐὰν ἐγὼ φῶ νῦν ἔχειν βακτηρίαν
Χρυσῆν, τί[1] μοι σεμνότερον ἔσται[2] τὸ ξύλον;
Ἀληθὲς εἶναι δεῖ τὸ σεμνόν, οὐ κενόν.

13. Ὅστις ὑπέχει χρυσίῳ τὴν χεῖρα, κἂν[3] μὴ[4] φῇ, πονηρὰ βουλεύεται. 14. Ἀνδρίας[5]) ἂν[6] φαῖμεν ἐκ νέων[7] εὐθὺς ἐπιτήδευμα εἶναι τὸ νικᾶν τὰ προςπίπτοντα ἡμῖν δείματά τε καὶ φόβους. 15. Χείλωνά φασιν Αἰσώπου πυθέσθαι[8], ὁ Ζεὺς τί εἴη[9] ποιῶν[9]· τὸν[10] δὲ φάναι[11], Τὰ μὲν ὑψηλὰ ταπεινῶν[12], τὰ δὲ ταπεινὰ ὑψῶν[12]. 16. Βίων μὴ δεῖν ἔφασκεν ὀνειδίζειν τὸ γῆρας, εἰς ὅ, ἔφη[13], πάντες εὐχόμεθα ἐλθεῖν[14]. 17. Οἱ Ἀθηναῖοι αὐτόχθονες[15] ἔφασαν εἶναι καὶ τὴν ἑαυτῶν πόλιν προτέραν οἰκισθῆναι τῶν ἄλλων[16]. 18. Διογένης ἄτοπον ἔφησεν εἶναι ἐπὶ μὲν τὸν λύχνον ἐπιχεῖν ἔλαιον, ἵνα ἐπὶ τῆς τραπέζης ὁρῶμεν, ὅπως δὲ τῇ διανοίᾳ[17] φρονιμώτεροι γιγνόμενοι[18] κατανοήσωμεν τὰ τῷ βίῳ βέλτιστα, μηδὲν ἐθέλειν ἀναλίσκειν. 19. Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτάνοντι[19]· τοῦ[10] δὲ φήσαντος[20], μηκέτι τοῦτο ποιήσειν, Οὐκ ἔστιν, εἶπεν, ἐν πολέμῳ δὶς ἁμαρτάνειν.

f. εἰμί, εἶμι, οἶδα.

1. Οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ[21] τοῦ[21] φρονίμως καὶ καλῶς καὶ δικαίως. 2. Ἔστιν[22] οὐ σιγὴ λόγου κρείσσων

---

1) *um was?* 2) v. εἰμί. 3) = καὶ ἄν, s. ἄν, 1. 4) s. φημί. 5) abhängig von ἐπιτήδευμα. 6) s. ἄν, 3. 7) s. ἐκ. 8) v. πυνθάνομαι. 9) Diese Ausdrucksweise unterscheidet sich von ποιοίη durch die Bezeichnung des Dauerns: *womit Z. (beständig) beschäftigt sei.* 10) s. ὁ, 1. 11) s. XIV, c, 7, 14. 12) durch den inf. mit zu. 13) damit wird angedeutet, daß von der indirekten Rede in die direkte übergegangen wird. 14) v. ἔρχομαι. 15) Prädikate, die sich auf das Subjekt des regierenden Zeitwortes beziehen, stehen im Griech. beim inf. im nom. 16) gen. comp. 17) wodurch? 18) mit *und.* 19) mit *welcher.* 20) gen. absol. mit *als.* 21) sc. ζῆν, *ohne dass man.* 22) s. οὐ.

γένοιτ'[1]) ἄν[2]), ἔστι δ' οὗ σιγῆς λόγος. **3.** Πανταχοῦ πάρεστι καὶ βλέπει πάντα θεός. **4.** Προσλαμβάνειν δεῖ καθ' ἡμέραν[3]) ἀεί, ἕως ἄν[4]) ἐξῇ μανθάνειν βελτίονα. **5.** Ἅπας λόγος, ἄν[5]) ἀπῇ τὸ ἔργον, μάταιόν τι φαίνεται καὶ κενόν. **6.** Οὐδὲν ἄν[2]) εἴη τοῖς ἐλευθέροις μεῖζον ἀτύχημα τοῦ[6]) στέρεσθαι τῆς παρρησίας. **7.** Εὐτυχῶν[7]) μὴ ἴσθι ὑπερήφανος, ἀπορήσας[7]) μὴ ταπεινοῦ. **8.** Κάλλιστα Σόλων ἐνομοθέτησεν, Ἐάν τις μὴ τρέφῃ τοὺς γονέας, ἄτιμος ἔστω. **9.** Τῆς ἀρετῆς, εἰ μέλλει πόλις εἶναι, οὐδένα δεῖ ἰδιωτεύειν. **10.** Βίας[8]) παρούσης[8]) οὐδὲν ἰσχύει νόμος. **11.** Πολλοῦ ἄν[9]) ἄξιον ἦν τὸ πλουτεῖν, εἰ καὶ τὸ χαίρειν αὐτῷ συνῆν[9])· νῦν δὲ ἄμφω ταῦτα κεχώρισται. **12.** Παρὰ Ταρτησσίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν οὐκ ἐξῆν. **13.** Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃς σαυτὸν αἰδεῖσθαι. **14.** Μέμνησο[10]) νέος ὤν[11]) ὡς γέρων ἔσει ποτέ. **15.** Ὅστις φοβεῖται καὶ αἰσχύνεται τὸν πατέρα, οὗτος ἔσται πολίτης ἀγαθός. **16.** Πολλοὶ ἀνθρώπων εἰσίν, οἳ οὐκ ἐθέλουσιν ἐπιμελεῖσθαι, ὅπως αὐτοῖς ἔσται[12]) ταῦτα, ἃ[13]) βούλονται εἶναι σφίσι, τὰ ἀγαθά. **17.** Καλὸν τὸ[14]) παρασκευάζειν, ὅπως ὡς βέλτισται[15]) ἔσονται[12]) τῶν πολιτῶν αἱ ψυχαί. **18.** Αἴσωπος τότε ἔλεγε κακῶς[16]) ἔσεσθαι πᾶσιν, ὅταν πάντες πάντα ἐπιτηδεύωσιν. **19.** Θαλῆς βουλόμενος[17]) δεῖξαι ῥᾴδιον εἶναι πλουτεῖν, φορᾶς[18]) μελλούσης[18]) ἐλαιῶν ἔσεσθαι, προνοήσας[19]) ἐμισθώσατο τὰ ἐλαιουργεῖα καὶ πάμπλειστα συνέλεξε[20]) χρήματα. **20.** Οὐ χρὴ πλουτεῖν ζητεῖν τὸν[21]) εὐδαίμονα ἐσόμενον[21]).

21. Ὅταν τις ἐξίῃ τῆς οἰκίας, ζητείτω πρότερον, τί μέλλει πράσσειν· καὶ ὅταν εἰσέλθῃ[22]), πάλιν ζητείτω, τί

---

1) v. *γίγνομαι*. 2) s. *ἄν*, 3. 3) s. *κατά*. 4) s. *ἄν*, 2. 5) s. *ἄν*, 1. 6) gen. comp. *als* und inf. mit *zu*. 7) mit *wenn*. Zur richtigen Uebersetzung des aor. *ἀπορήσας* vgl. XIII, d, 5, 8. 8) gen. absol. mit *wenn*. 9) s. *ἄν*, 4. 10) v. *μιμνήσκω*. 11) mit *so lange noch*. 12) s. IX, 70, 22. 13) *von dem — dass*. 14) s. XIII, b, 45, 1. 15) s. *ὡς*. 16) s. *εἰμί*. 17) mit *da*. 18) gen. absol. mit *als*. 19) mit *weil*. 20) *ν* vor *λ* zu *λ*. 21) *wer — will*. 22) v. *εἰσέρχομαι*.

ἔπραξεν. **22.** *Αἱ κόραι τῶν Βοττιαίων θυσίαν τινὰ τελοῦσαι*[1]) *ἐπῇδον· Ἴωμεν εἰς Ἀθήνας.* **23.** *Τὸ*[2]) *Δεῦρ' ἴτε πάντες λεῴ! κήρυγμα Θησέως γενέσθαι*[3]) *φασίν.* **24.** *Πυθαγόρας εἶπεν, εἰςιέναι εἰς τὰς πόλεις πρῶτον τρυφήν, ἔπειτα κόρον, εἶτα ὕβριν, μετὰ δὲ ταῦτα ὄλεθρον.* **25.** *Εἰ μέλλουσι πᾶσαι αἱ πρόςοδοι ἐκ πόλεως προςιέναι, εἰρήνην δεῖ ὑπάρχειν.* **26.** *Ἐπιόντος*[4]) *θανάτου*[4]) *ἐπὶ τὸν ἄνθρωπον, τὸ μὲν θνητόν, ὡς ἔοικεν*[4]), *αὐτοῦ ἀποθνήσκει, τὸ δ' ἀθάνατον σῶον καὶ ἀδιάφθορον οἴχεται ἀπιόν*[5]), *ὑπεκχωρῆσαν*[6]) *τῷ θανάτῳ.* **27.** *Ἡ Ξανθίππη ἔφη, μυρίων μεταβολῶν*[7]) *τὴν πόλιν καὶ αὐτοὺς*[8]) *κατασχουσῶν*[8]), *ἐν πάσαις ὅμοιον τὸ Σωκράτους πρόσωπον καὶ προϊόντος*[1]) *ἐκ τῆς οἰκίας καὶ ἐπανιόντος*[1]) *θεάσασθαι.* **28.** *Ὁ τῶν Περσῶν βασιλεὺς ἐτόλμα γράφειν, ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου.* **29.** *Πάντες οἱ ποταμοὶ προϊοῦσι*[9]) *πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται.* **30.** *Διογένης λύχνον μεθ' ἡμέραν ἅψας*[10]) *περιῄει λέγων, Ἄνθρωπον ζητῶ.* **31.** *Διογένης λόγον τινὰ διεξῄει περὶ σωφροσύνης καὶ ἐγκρατείας, καὶ ὡς ἐπῄνουν αὐτὸν οἱ Ἀθηναῖοι, ὁ δέ*[11]), *Κάκιστ' ἀπόλοισθε*[12]), *εἶπε, τοῖς ἔργοις*[13]) *μοι ἀντιλέγοντες*[14]).

32. *Γίγνεται ὁ σώφρων ἐπιστήμων ὧν*[15]) *τε οἶδεν, ὅτι οἶδεν, καὶ ὧν*[15]) *μὴ οἶδεν, ὅτι οὐκ οἶδεν.* **33.** *Οὐδείς, ὃ νοεῖς μέν, οἶδεν, ὃ δὲ ποιεῖς, βλέπει.* **34.** *Ἴσμεν τοὺς οἰκιστὰς*[16]) *Σπάρτης γενομένους ὅτι μικρὸν μὲν στρατόπεδον εἰς τὴν Πελοπόννησον εἰςῆλθον*[17]) *ἔχον-*

1) mit *wenn.* 2) *der Ausdruck,* s. XIII, b, 41, 18. 3) v. *γίγνομαι,* 4) gen. absol., mit *wenn.* Das Angegebene ist von Sokrates gesprochen. 5) s. *οἴχομαι.* 6) mit *indem.* 7) gen. absol. mit *während,* v. *κατέχω.* 8) *sie* d. h. den Sokrates und die Seinigen. 9) mit *wenn man;* wie wörtlich? 10) mit *und.* 11) Es werden hier zwei Construktionen verbunden, und in den Nachsatz zu *ὡς ἐπῄνουν* die Partikel *δέ* (*im Gegentheil*) gesetzt, als ob vorherginge *ἐπῄνουν μέν.* 12) 2. pl. optat. aor. 2. med. v. *ἀπόλλυμι.* 13) womit? 14) mit *da.* 15) statt *τούτων, ἅ, von dem, was.* 16) dieser acc. ist im Deutschen entweder das Subjekt des Satzes mit daß (*ὅτι*), oder es wird die praep. *von* gebraucht. 17) v. *εἰςέρχομαι.*

τες[1]), *πολλῶν δὲ καὶ μεγάλων πόλεων ἐκράτησαν.* **35.** *Ἀρίστιππος ἐρωτηθείς, διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, ἔφη, Ὅτι οἱ μὲν ἴσασιν, ὧν δέονται, οἱ δ' οὐκ ἴσασιν.* **36.** *Νήπιοι, οὐκ ἴσασιν, ὅσον πλέον*[2]) *ἥμισυ παντός*[3]). **37.** *Χείλωνά φασι αὐτόν ποτε γηραιὸν ἤδη ὄντα*[4]) *εἰπεῖν, ὡς οὐδὲν συνειδείη ἄνομον ἑαυτῷ ἐν τῷ βίῳ.* **38.** *Ἀγησίλαος ἐρωτηθείς, τίνα*[5]) *χρὴ τοὺς ἐλευθέρους παῖδας ἐκμανθάνειν, Ἃ*[6]) *αἰσχρόν, ἔφη, γέροντας*[7]) *μὴ εἰδέναι*[7]). **39.** *Γράψαι πάντα, ὁπόσα δεῖ ποιεῖν, οὐδὲν μᾶλλον οἷόν τέ ἐστιν, ἢ τὰ μέλλοντα πάντα εἰδέναι.* **40.** *Οἱ εἰδότες ἑαυτοὺς τὰ ἐπιτήδεια ἑαυτοῖς ἴσασι καὶ διαγιγνώσκουσιν, ἅ τε δύνανται καὶ ἃ μή.* **41.** *Οἵου ἂν*[8]) *ἔργου τυγχάνῃς ἄπειρος ὤν*[9]), *τὸ*[10]) *πυνθάνεσθαι τῶν κατειδότων καλόν*[11]). **42.** *Δημοσθένης πρὸς κλέπτην εἰπόντα*[12]), *Οὐκ ᾔδειν, ὅτι σόν ἐστιν, Ὅτι δέ, ἔφη, σὸν οὐκ ἔστιν, ᾔδεις.* **43.** *Ἀγησίλαος, ὁπότε εὐτυχοίη, οὐκ ἀνθρώπων ὑπερεφρόνει, ἀλλὰ θεοῖς χάριν ᾔδει.*

XVIII.

Anomala.

a. *καθέζομαι, αὔξω, οἴχομαι, ἄχθομαι, μάχομαι, βάλλω, ἐθέλω, μέλω, μένω, βούλομαι, καλέω, γαμέω, δοκέω.*

1. *Ἀρίστιππος ἐρωτηθεὶς ὑπό τινος, τί*[13]) *αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθείς*[14]), *Καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδεῖται λίθος ἐπὶ λίθῳ.* **2.** *Ὧν οἱ πόνοι τὰ μὲν αἰσχρὰ καὶ ὑβριστικὰ ἐκ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀφαιροῦνται, ἐπιθυμίαν δ' ἀρετῆς ἐνηύξησαν,*

---

1) s. *ἔχω* a. E. 2) sc. *ἐστίν*. 3) gen. comp. 4) mit *als*. 5) neutr. pl. 6) *wovon —, wenn es.* 7) acc. c. inf., abhängig von *αἰσχρόν* (*ἐστιν*). 8) s. *ἄν*, 2. 9) s. *τυγχάνω*. 10) s. XIII, b, 45, 1. Im Deutschen ist *darüber* einzusetzen. 11) sc. *ἐστίν*. 12) mit *welcher*. 13) *worin*. 14) mit *wenn*.

οὗτοι ἄριστοι[1]). 3. Ἡ διάνοια καὶ τὰ παρῳχημένα βλέπειν τῇ μνήμῃ[2]) πέφυκεν. 4. Τοῖς συμφορὰς παθοῦσι[3]) συναχθεσθησόμεθα. 5. Ἐπεὶ φίλτατος ἦν Τελαμὼν Ἡρακλεῖ, εἰς πολλοὺς ἄθλους συνεμαχέσατο[4]) Ἡρακλεῖ. 6. Μεταβεβληκυιῶν[5]) τῶν περὶ θεοὺς δοξῶν ἐν τοῖς ἀνθρώποις μεταβάλλειν χρὴ καὶ τοὺς νόμους. 7. Πελοπίδας ἀνδρείου στρατιώτου διαβληθέντος[6]) αὐτῷ, ὡς[7]) βλασφημήσαντος[7]) αὐτόν, Ἐγὼ τὰ μὲν ἔργα, ἔφη, αὐτοῦ βλέπω, τῶν δὲ λόγων οὐκ ἤκουσα. 8. Πολὺ κρεῖττόν ἐστιν ἓν καλῶς μεμαθηκέναι[8]) ἢ πολλὰ φαύλως περιβεβλῆσθαι πράγματα. 9. Εὖ[9]) ποιεῖν ἡμᾶς οὐδεὶς ἐθελήσει, τοὺς πρότερον ποιήσαντας[10]) ἐὰν ἠδικημένους ἴδῃ[11]). 10. Οὐ τοῦ δοκεῖν[12]) μοι, τῆς δ' ἀληθείας μέλει. 11. Ἱστοροῦσι παρ' Αἰθίοψι πρώτοις καταδειχθῆναι[13]) θεοὺς τιμᾶν, καὶ τῆς εἰς τὸ θεῖον εὐσεβείας φανερῶς αὐτοὺς κομίσασθαι τὰς χάριτας· ἐξ αἰῶνος γὰρ ἐν ἐλευθερίᾳ μεμενηκέναι[14]) καὶ τῇ πρὸς ἀλλήλους ὁμονοίᾳ. 12. Ἀεί τι βούλου χρήσιμον προςμανθάνειν. 13. Τίς οὕτως ἐστὶ δυςτυχής, ὅστις πατρίδα ἕνεκα κέρδους βραχέος προέσθαι[15]) βουλήσεται. 14. Ὅ,τι ἂν[16]) ἀκριβῶσαι βουληθῇς, ἐμπειρίᾳ μέτιθι[17]) καὶ φιλοσοφίᾳ. 15. Φῶς ὁ θεὸς ἀνῆψεν, ὃ δὴ νῦν κεκλήκαμεν ἥλιον. 16. Φιλόξενος παραδοθεὶς[18]) ὑπὸ Διονυσίου ποτὲ εἰς τὰς λατομίας, διὰ[19]) τὸ[19]) φαυλίζειν τὰ ποιήματα αὐτοῦ, καὶ ἀνακληθείς[18]), ἔπειτα πάλιν ἐπὶ τὴν ἀκρόασιν αὐτῶν ἐκλήθη· μέχρι δέ τινος[20]) ὑπομείνας[18]) ἀνέστη[21])· πυθομένου[22]) δὲ τοῦ Διονυσίου, Ποῖ δὴ σύ; Εἰς τὰς λατομίας, εἶπεν. 17. Οἱ μὲν ἀπ' ἀνατολῆς συνεχεῖς ἄνεμοι[23]) εὖροι κέκληνται, βο-

1) sc. εἰσίν. 2) wodurch? 3) v. πάσχω. 4) ν vor μ? 5) mit wenn. 6) mit *als*. 7) *als einer, der; als habe er*. 8) v. μανθάνω. 9) s. ποιέω. 10) sc. εὖ ἡμᾶς. 11) v. ὁράω. 12) durch das subst. 13) v. καταδείκνυμι. 14) s. XIV, c, 7, 14. 15) v. προΐημι. 16) s. ἄν, 2. 17) v. μέτειμι. 18) mit *nachdem* (παραδίδωμι). 19) *desshalb, weil*. 20) neutr. s. μέχρι. 21) v. ἀνίστημι. 22) v. πυνθάνομαι, mit *als*. 23) Im Deutschen am besten den sg. und die Winde mit den griech. Namen.

ῥέαι δὲ οἱ ἀπ᾽ ἄρκτου, ζέφυροι δὲ οἱ ἀπὸ δυσμῶν, νότοι δὲ οἱ ἀπὸ μεσημβρίας.

18. Ἀσκεῖν[1]) μὲν ἀρετήν, εὐτυχεῖν δ᾽ αἰτεῖν[1]) θεόν·
Ἔχων[2]) γὰρ ἄμφω ταῦτα, μακάριος θ᾽ ἅμα
Κεκλημένος[3]) ζῆν κἀγαθὸς[4]) δυνήσεται.

19. Βῆλος βασιλεύων[5]) Αἰγυπτίων ἔγημεν Ἀγχινόην τὴν Νείλου θυγατέρα καὶ αὐτῷ ἐγένοντο[6]) παῖδες δίδυμοι, Αἴγυπτος καὶ Δαναός. 20. Ἕπεσθαι δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἀναισχυντία· καὶ γὰρ αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. 21. Ἠλίθιός ἐστιν, εἴ τις οἴεται διὰ τὸν πλοῦτον, μηδὲν ἐπιστάμενος[7]), δόξειν τι[18]) ἀγαθὸς εἶναι. 22. Τῶν ἐν Μαραθῶνι πρὸς Μήδους μαχομένων ἔδοξαν οὐκ ὀλίγοι φάσμα Θησέως ἐν ὅπλοις καθορᾶν πρὸ αὐτῶν ἐπὶ τοὺς βαρβάρους φερόμενον[8]).

b. ἁμαρτάνω, λαμβάνω, λανθάνω, μανθάνω, ὀλισθάνω, ὀφλισκάνω, τυγχάνω, αἰσθάνομαι, πυνθάνομαι, τετραίνω, ἐλαύνω, δάκνω.

1. Ἄκων ἁμαρτὼν[9]) οὔτις ἀνθρώπων κακός[10]). 2. Ἐν ᾧ ἂν[11]) τις πράγματι μὴ πείθηται τῷ εὖ λέγοντι, ἁμαρτήσεται δήπου, ἁμαρτὼν[9]) δὲ ζημιώσεται[12]).

3. Ἅπανθ᾽ ὅσ᾽ ὀργιζόμενος ἄνθρωπος ποιεῖ
Ταῦθ᾽ ὕστερον λάβοις[13]) ἂν[14]) ἡμαρτημένα.

4. Εἱμαρμένον[15]) ἦν, ἀλώπεκί τινι αὐτὴν μηδέ τινα καταλαβεῖν. κυνὶ δὲ Μίνωος ἦν πεπρωμένον[16]) πᾶν, ὅ,τι ἂν[11]) διώκῃ, λαμβάνειν. διωκομένης[17]) οὖν ὑπὸ τοῦ κυνὸς τῆς

---

1) Diese inf. stehen imperativisch, wie es auch im Deutschen geschieht, z. B. weiter schreiben! = schreib oder schreibt weiter! Hier ist im Deutschen *man soll* zu gebrauchen. 2) mit *wer*. 3) *in dem Rufe eines;* wie wörtlich? 4) mit *μακάριος* zu verbinden. 5) mit *welcher*. 6) v. *γίγνομαι*. 7) mit *auch wenn*. 8) im Deutschen den inf. 9) mit *wenn*. 10) sc. *ἐστίν*. 11) s. *ἄν*, 2. 12) fut. med. statt des fut. pass. 13) v. *λαμβάνω*. 14) s. *ἄν*, 3. 15) v. *μείρομαι*. 16) s. *πορεῖν*. 17) mit *als*. 18) *in etwas*.

ἀλώπεκος Ζεὺς ἀμφοτέρους λίθους ἐποίησεν. **5.** Ἔνιοι τῶν ἀνθρώπων οὐδενὸς ἄξιοι ὄντες[1]), ἂν[2]) ταραχῆς λαβῶνται, δοκοῦσί τινες[3]) εἶναι. **6.** Ἐπὶ Κέκροπος ἔδοξε τοῖς θεοῖς πόλεις καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἔχειν τιμὰς ἰδίας ἕκαστος. **7.** Ὁ[4]), οἷς ἂν[5]) ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν[6]) μήπω βάλλῃ μηδὲ τοξεύῃ. **8.** Πύρρων Ἠλεῖος καταληφθείς[7]) ποτε ἑαυτῷ λαλῶν καὶ ἐρωτηθεὶς[7]) τὴν αἰτίαν, ἔφη μελετᾶν[8]) χρηστὸς εἶναι. **9.** Ἠρώτησέ τις Θαλῆν, εἰ λάθοι θεοὺς ἄνθρωπος ἀδικῶν[9]). Ἀλλ'[10]) οὐδὲ διανοούμενος[9]), ἔφη.

10. Ὅστις ἥδεται λέγων ἀεί,
Λέληθεν αὑτὸν τοῖς συνοῦσιν[11]) ὢν[12]) βαρύς.

11. Θεόδωρος ὁ Κυρηναϊκὸς Λυσιμάχου τοῦ βασιλέως ἀπειλήσαντος[7]) αὐτὸν ἀναιρήσειν, Ἐλελήθεις με, εἶπεν, οὐ βασιλέως ἀλλὰ κωνείου δύναμιν ἔχων[12]). **12.** Ἃ ἂν[13]) μάθῃ τις, ταῦτα σῴζεσθαι φιλεῖ εἰς γῆρας. **13.** Εἴ τις ταὐτόματον[14]) καὶ τὴν τύχην ἐπεισάγων[15]) ἀναιρεῖν οἴεται τὴν τάξιν, μαθέτω, ὡς οὐδέν ἐστι ἐν τῷ παντὶ ἄτακτον οὐδ' ἐπεισοδιῶδες, οὐδὲ ἄνευ αἰτίας. **14.** Τὰ βιβλία τῶν μεμαθηκότων μὲν ὑπομνήματά ἐστι, τῶν δὲ ἀμαθῶν μνήματα[16]). **15.** Κρεῖττόν ἐστι τοῖς ποσὶν[17]) ὀλισθεῖν ἢ τῇ γλώττῃ[17]). **16.** Θεόφραστος τοσοῦτον ἀποδοχῆς ἠξιοῦτο παρ' Ἀθηναίοις, ὥστ' Ἀγνωνίδης τολμήσας[18]) ἀσεβείας αὐτὸν γράψασθαι, μικροῦ[19]) καὶ προσῶφλεν. **17.** Δίκαια δράσας[9]) συμμάχου

---

1) mit *welche*. 2) s. ἄν, 1. 3) *Leute von Bedeutung* oder *etwas*. 4) gehört zu πράττων u. παρασκ. 5) s. ἄν, 3. 6) aus καὶ ἄν (ἄν, 1). 7) mit *als*. 8) im Deutschen den conjunct. 9) mit *wenn*. 10) s. ἀλλά. 11) v. σύνειμι. 12) s. λανθάνω. 13) s. ἄν, 2. 14) = τὸ αὐτ. 15) mit *dadurch, dass*. 16) den ersteren ist der Gehalt der Bücher erschlossen, den letzteren verschlossen; jenen werden Gedanken erweckt, diesen stehen nur Worte vor den Augen; wie das μνῆμα nur den Todten nennt, das ὑπόμνημα aber in seinem ganzen Wesen ihn uns vor die Seele stellt. 17) womit? 18) mit *welcher*. 19) s. μικρός.

τεύξῃ θεοῦ. 18. Μεῖζον οὐδὲν ἂν[1]) ἡμῖν γένοιτο[2]) ἀγαθὸν ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτου τυχεῖν εὐνοίας. 19. Τὸ[3]) μὴ ζητοῦντα[4]) ἐπιτυχεῖν τινι[5]) τῶν δεόντων εὐτυχίαν οἶμαι εἶναι. 20. Οὐκ ᾔσθησαι τὰς ἄνευ ἐπιστήμης δόξας[6]) ὡς ἅπασαι αἰσχραί[7]), ὧν αἱ βέλτισται τυφλαί[8]); 21. Σχολαστικὸς ποταμὸν βουλόμενος[8]) περᾶσαι ἀνῆλθεν[9]) εἰς τὸ πλοῖον ἔφιππος. πυθομένου[10]) δέ τινος τὴν αἰτίαν, ἔφη σπουδάζειν[11]). 22. Ἄνθρωπος ἐπιλήσμων[12]) εὐεργεσίας πίθος ἐστὶ τετρημένος διαρρέων[13]) τὰς χάριτας. 23. Ἐν Ἀκανθῶν πόλει πίθον φασὶ γεγονέναι[14]) τετρημένον, εἰς ὃν τῶν ἱερέων ἑξήκοντα καὶ τριακοσίους καθ' ἑκάστην ἡμέραν ὕδωρ ἐνεγκεῖν[15]) ἐκ τοῦ Νείλου. 24. Ἡρακλεῖ τῶν[16]) ὑπὲρ τῆς ἀθανασίας συντελεσθέντων ἄθλων[16]) εἷς καταριθμεῖται, καθ' ὃν ἐξήλασεν ἐκ τῆς Στυμφαλίδος λίμνης τὸ πλῆθος τῶν ἐπιπολασάντων ὀρνίθων ἐν αὐτῇ. 25. Πολλοὶ ἄνδρες ἀγαθοὶ ὄντες[17]) ἐξηλάθησαν τῆς πατρίδος ἀδίκως ὑπὸ τῶν πολιτῶν. 26. Εὐρυδίκη ἡ Ὀρφέως γυνὴ ἀπέθανε[18]) δηχθεῖσα[19]) ὑπὸ ὄφεως.

c. θνήσκω, μιμνήσκω, διδάσκω, πιπράσκω, εὑρίσκω, ἀναλίσκω, θρώσκω.

1. Σωκράτης πρὸς τὸν[20]) εἰπόντα, Ἀποθανοῦμαι[21]), εἰ μή σε τιμωρήσομαι, ἔφη, Ἀποθανοῦμαι, εἰ μή σε φίλον ποιήσω. 2. Ὥσπερ ὁ Ἀκταίων ὑπὸ τῶν τρεφομένων ὑπ' αὐτοῦ κυνῶν ἀπέθανεν[22]), οὕτως οἱ κόλακες τοὺς τρέφοντας

---

1) s. ἄν, 3. 2) v. γίγνομαι. 3) s. XIII, b, 45, 1. 4) s. XIII, b, 51, 12. 5) neutr. 6) s. XVII, f, 34, 16. 7) sc. εἰσίν. 8) mit *welcher*. 9) v. ἀνέρχομαι. 10) mit *als*. 11) s. XIV, c, 7, 14. 12) wie ein part. mit *welcher*. 13) mit *welches*. 14) v. γίγνομαι. 15) v. φέρω. Der inf. wegen der orat. obliq. daher εἰς ὅν durch *und in dieses*. 16) d. gen. durch *unter*. 17) mit *welche*. 18) v. ἀποθνήσκω. 19) im Deutschen das substant. mit *an*. 20) *Jemand*, *welcher*. 21) das fut. hier bei der Betheuerung durch *wollen*. 22) hier an Stelle des pass. v. ἀποκτείνω.

καταλύουσιν. **3.** *Ἀνδρείας*[1]) *ἐστὶ τὸ*[2]) *μᾶλλον αἱρεῖσθαι τεθνάναι καλῶς ἢ αἰσχρῶς διασωθῆναι.* **4.** *Ὁ ἐπιεικὴς ἀνὴρ τῷ ἐπιεικεῖ τὸ τεθνάναι*[3]) *οὐ δεινὸν ἡγήσεται.* **5.** *Ἀγησίλαος ἀγγελίας ἐλθούσης*[4]) *αὐτῷ, ὡς ἐν τῇ ἐν Κορίνθῳ μάχῃ ὀκτὼ μὲν Λακεδαιμονίων, ἐγγὺς δὲ μύριοι τῶν πολεμίων τεθναῖεν, οὐκ ἐφησθεὶς*[5]) *φανερὸς ἐγένετο*[6]), *ἀλλ' εἶπεν ἄρα, Φεῦ, ὦ Ἑλλάς, ὁπότε οἱ νῦν τεθνηκότες ἱκανοὶ ἦσαν ζῶντες*[7]) *νικᾶν μαχόμενοι*[8]) *πάντας τοὺς βαρβάρους.* **6.** *Ἀγάθων ἔφη τὸν ἄρχοντα τριῶν δεῖν μεμνῆσθαι· πρῶτον μὲν ὅτι ἀνθρώπων ἄρχει, δεύτερον δὲ ὅτι κατὰ νόμους ἄρχει, τρίτον δὲ ὅτι οὐκ ἀεὶ ἄρχει.* **7.** *Λυκοῦργος ἐκέλευσε Λακεδαιμονίους μὴ πολλάκις τοῖς αὐτοῖς πολεμεῖν, ἵνα μὴ ἄκοντας πολεμεῖν διδάξωσιν.* **8.** *Ὑπολαμβάνουσι Δημόκριτον παρ' Αἰγυπτίοις ἔτη διατρῖψαι πέντε καὶ πολλὰ διδαχθῆναι τῶν*[9]) *κατ'*[9]) *ἀστρολογίαν.* **9.** *Ἡρακλῆς κατασχεθεὶς*[10]) *δεινῇ νόσῳ*[11]) *διὰ τὸν Ἰφίτου φόνον λαμβάνει χρησμόν, ὃς ἔλεγεν, ἀπαλλαγὴν αὐτῷ τῆς νόσου ἔσεσθαι*[12]) *πραθέντι*[13]) *καὶ τρία ἔτη λατρεύσαντι*[13])*. τοῦ δὲ χρησμοῦ δοθέντος*[14]) *Ἑρμῆς Ἡρακλέα πιπράσκει· καὶ αὐτὸν ὠνεῖται Ὀμφάλη, βασιλεύουσα Λυδῶν.* **10.** *Πάντα ἐξευρεῖν ἔστιν, ἐάν τις τὸν τοῦ ζητεῖν πόνον μὴ φεύγῃ.* **11.** *Ὕδωρ βαθὺ εἰς πολλὰ χρήσιμον καὶ δ' αὖτε κακόν· κίνδυνος γὰρ ἀποπνιγῆναι. μηχανὴ οὖν εὑρέθη, νήχεσθαι διδάσκειν.* **12.** *Τὸ κάλλος ἢ χρόνος ἀνήλωσεν*[15]) *ἢ νόσος ἐμάρανεν, ἡ δὲ τῆς ἀρετῆς κτῆσις συγγηράσκει.* **13.** *Νόμος ἦν ἐν Ἀβδήροις τὸν ἀναλώσαντα τὴν πατρῴαν οὐσίαν μὴ ἀξιοῦσθαι ταφῆς.* **14.** *Διὸς ἐκ κορυφῆς, πλήξαντος*[16]) *αὐτοῦ τὴν κεφαλὴν πελέκει Προμηθέως, Ἀθηνᾶ σὺν ὅπλοις ἀνέθορεν.*

---

1) wie das lat. fortitudinis est. 2) s. XIII, b, 45, 1. 3) im Deutschen das substant. 4) v. *ἔρχομαι*, mit *als*. 5) s. *φανερός*. 6) v. *γίγνομαι*. 7) mit *wenn* und dem conj. imperf., der auch bei *ἦσαν* zu setzen ist. 8) durch das substant. mit *in*. 9) *von den Gegenständen der*, s. X, 9, 10. 10) v. *κατέχω*, mit *als*. 11) wovon? 12) v. *εἰμί*. 13) mit *wenn*. 14) v. *δίδωμι*, mit *nachdem*. 15) s. XIII, d, 10, 11. 16) mit *indem*.

d. ὄλλυμι, κεράννυμι, κρεμάννυμι, πετάννυμι, κίχρημι, ὀνίνημι, πίμπλημι, πίμπρημι.

1. Εἰ μὴ φυλάξεις μίκρ', ἀπολεῖς τὰ μείζονα. 2. Τὰς τοιαύτας χρὴ φεύγειν ἀποικίας, αἵτινες τετράκις ἢ πεντάκις ἀπολωλέκασι τοὺς ἐμπολιτευθέντας. 3. Ἀντισθένης γνωρίμου ποτὲ πρὸς αὐτὸν ἀποδυρομένου[1]), ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκώς, Ἔδει γάρ, ἔφη, ἐν τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν τοῖς χαρτίοις καταγράφειν. 4. Ἀμνήμονος ἀνδρὸς ὄλλυται χάρις. 5. Ἀρχίδαμος ὁ[2]) Ἀγησιλάου ἰδὼν[3]) βέλος, τότε πρῶτον ἐκ Σικελίας κομισθέν[4]), ἀνεβόησεν, Ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά[5]). 6. Πολλαὶ πόλεις ἐνίοτε καθάπερ πλοῖα καταδυόμενα διόλλυνται καὶ διολώλασι καὶ ἔτι διολοῦνται διὰ τὴν τῶν κυβερνητῶν καὶ ναυτῶν μοχθηρίαν τῶν[6]) περὶ τὰ μέγιστα μεγίστην ἄγνοιαν εἰληφότων[6]). 7. Κυανοῦ λευκῷ κεραννυμένου[7]) γλαυκὸν ἀποτελεῖται. 8. Ἐρυθρὸν μέλανι λευκῷ τε κραθὲν[7]) ἁλουργοῦν γίγνεται, ὄρφνινον δέ[8]), ὅταν τούτοις μεμιγμένοις[9]) καυθεῖσί[9]) τε μᾶλλον συγκραθῇ μέλαν. 9. Ὡς ἡδὺ[10]) συνέσει χρηστότης κεκραμένη[11]). 10. Πλέοντος[1]) ἀπὸ Τροίας Ἡρακλέους Ἥρα χαλεποὺς ἔπεμψε χειμῶνας, ἐφ' οἷς[12]) ἀγανακτήσας[13]) Ζεὺς ἐκρέμασεν αὐτὴν ἐξ Ὀλύμπου. 11. Τὸ χρυσόμαλλον δέρας ἐν Κόλχοις ἦν ἐν Ἄρεος ἄλσει, κρεμάμενον[14]) ἐκ δρυός, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀύπνου. 12. Οἰκία πρὸς μεσημβρίαν ἀναπεπταμένη[15]) χειμῶνος μὲν εὐήλιός ἐστι, τοῦ δὲ θέρους εὔσκιος· χειμῶνος μὲν γὰρ ὁ ἥλιος εἰς τὰς παραστάδας ὑπολάμπει, τοῦ δὲ θέρους ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν στεγῶν πορευόμενος[16]) σκίαν παρέχει. 13. Ἅ σοι τύχη κέχρηκε, ταῦτ' ἀφείλετο[17]). 14. Ἀντισθένης τοσοῦ-

---

1) mit *als*. 2) *der Sohn*. 3) v. ὁράω, mit *als*. 4) mit *welcher*. 5) dorisch für ἀρετή. 6) mit *welche*, v. λαμβάνω. 7) mit *wenn*. 8) sc. γίγνεται. 9) mit *nachdem*, v. μίγνυμι u. καίω. 10) sc. ἐστίν. 11) mit *welche*. 12) neutr. *worüber*. 13) mit *und*, s. XIII, d, 5, 8. 14) mit *und* an das vorhergehende anzureihen. 15) mit *welches*. 16) mit *und*. 17) v. ἀφαιρέω.

τον ὤνητο Σωκράτους, ὥστε παρῄνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς[1]) Σωκράτην συμμαθητάς. **15.** Ὁ μὲν ἔχων παντοδαπὰ ἀεί, οὐδὲν μετὰ πόθου αὐτῶν λαμβάνει, ὁ δὲ σπανίσας τινός[2]), οὗτός ἐστιν ὁ μετὰ χαρᾶς ἐμπιπλάμενος, ὅταν αὐτῷ προφανῇ τι. **16.** Ἀλέξανδρος ἐνέπρησε τὰ ἐν Περσεπόλει βασίλεια, τιμωρῶν[3]) τοῖς Ἕλλησιν, ὅτι κἀκείνων[4]) ἱερὰ καὶ πόλεις οἱ Πέρσαι πυρὶ καὶ σιδήρῳ διεπόρθησαν. **17.** Οἱ Ἕλληνες τῶν ἱερῶν τῶν ἐμπρησθέντων[5]) καὶ καταβληθέντων[5]) ὑπὸ τῶν βαρβάρων οὐδὲν ἀνῳκοδόμησαν, ἀλλ' ὑπόμνημα τοῖς ἐπιγιγνομένοις εἴασαν καταλείπεσθαι τῆς τῶν βαρβάρων ἀσεβείας.

e. βαίνω, διδράσκω, γιγνώσκω, βιβρώσκω, πέτομαι, βιόω, δύω, φύω.

1. Σοφοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ σοφός. **2.** Δὶς εἰς τὸν αὐτὸν ποταμὸν οὐκ ἂν[6]) ἐμβαίης. **3.** Ἀγησίλαος, εἴ ποτε μοχθῆσαι στρατιᾷ συμβαίη, ἑκὼν ἐπόνει παρὰ τοὺς ἄλλους, νομίζων[7]) παραμυθίαν τοῦτο εἶναι τοῖς στρατιώταις. **4.** Πλάτων ἐρωτηθείς, πῶς ἔχειν δεῖ πρὸς τὰ περιπτώματα, Οὕτως, εἶπεν, ὥστε προϊδόντα[8]) μὴ ἐμβῆναι, ἐμβάντα[9]) δὲ κατάγνοιαν μὴ φροντίσαι. **5.** Κῦρος λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη, ὅσα Συρίαν ἐκβάντι[10]) οἰκεῖ μέχρι ἐρυθρᾶς θαλάσσης. **6.** Σωκράτης ἐνὸν[11]) αὐτῷ ἀποδρᾶναι τῆς εἱρκτῆς οὐκ ἠθέλησεν. **7.** Διογένης, ἀποδράντος[12]) τοῦ οἰκέτου, οὐκ ἐφρόντιζε, δεινὸν εἶναι λέγων[3]), εἰ Διογένης μὲν χωρὶς αὐτοῦ ζῆν οὐ δύναται, αὐτοῦ δ' ἐκεῖνος χωρὶς δύναται.

8. Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος,
Κακὸν δὲ κἂν[13]) ἐν ἡμέρᾳ γνοίης μιᾷ.

---

1) *bei.* 2) welches genus? 3) mit *indem.* 4) aus καὶ ἐκ. 5) mit *welche* (καταβάλλω). 6) s. ἄν, 3. 7) mit *denn.* 8) v. προοράω, mit *wenn.* 9) mit *sobald.* 10) mit *wenn man;* wörtlich? 11) mit *und,* v. ἔνεστι. Statt des gen. absol. steht bei den unpersönlichen Zeitwörtern und Ausdrücken der acc. sg. neutr. 12) mit *als.* 13) aus καὶ ἄν, s. ἄν, 3.

9. *Ἀπόφθεγμα ἦν Πιττακοῦ, Καιρὸν γνῶθι.* 10. *Θαλῆς ἐρωτηθείς, τί δύςκολον, ἔφη, Τὸ*[1] *ἑαυτὸν γνῶναι.* 11. *Οὐδενὸς χρὴ πράγματος τὸν εὖ πονοῦντ' ἀπογνῶναί ποτε.* 12. *Φασὶν Ἀκταίονα ὑπὸ τῶν ἰδίων κυνῶν καταβρωθῆναι.* 13. *Λέγεται ὅτι Σωκράτης ὄναρ ἔδοξε κύκνον νεοττὸν ἐν τοῖς γόνασιν ἔχειν, ὃν καὶ παραχρῆμα πτεροφυήσαντα*[2] *ἀναπτῆναι*[3] *ἡδὺ κλάγξαντα*[4]*· καὶ μηθ' ἡμέραν Πλάτωνα αὐτῷ συστῆναι*[5]*, τὸν*[6] *δὲ τοῦτον εἰπεῖν εἶναι τὸν ὄρνιν.* 14. *Σιμωνίδης ἐρωτηθείς, πόσον χρόνον βιῴη, Χρόνον μέν, εἶπεν, ὀλίγον, ἔτη δὲ πολλά.* 15. *Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν*[7] *ἡμέραν καλῶς βιῶναι, μὴ προθέμενον*[8] *αὐτὴν ὡς ἐσχάτην βιῶσαι.* 16. *Σόλων ἐτελεύτησεν ἐν Κύπρῳ βιοὺς*[9] *ἔτη ὀγδοήκοντα.* 17. *Ὁ τοῦ φιλαργύρου πλοῦτος, ὥςπερ ὁ ἥλιος καταδὺς εἰς τὴν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει.* 18. *Λιμὸς μέγιστον ἄλγος ἀνθρώποις ἔφυ.*

19. *Νέος πέφυκας· πολλὰ καὶ μαθεῖν σε δεῖ,*
Καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά.

f. *ἔθω, εἴκω, δεῖσαι (δείδω, [δίω]), ῥέω, χέω, ἐγείρω, πίπτω, ἔχω, γίγνομαι.*

1. *Εὐδαιμονία εἴωθεν ὑπερηφανίας ποιεῖν.* 2. *Πολλάκις ἐξίπταται ὁ νοῦς τῆς ψυχῆς, καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ οὔτε βλέπει ἡ ψυχὴ οὔτε ἀκούει, ἀλλ' ἀλόγῳ ζῴῳ ἔοικεν.* 3. *Ὅςτις οὔτ' ἐρυθριᾶν οἶδεν οὔτε δεδιέναι, τὰ πρῶτα*[10] *πάσης τῆς ἀναιδείας ἔχει.* 4. *Οὐκ ἔστιν οὐδεὶς*[11] *δειλὸς ὁ δεδοικὼς νόμον.* 5. *Ζήνων*[12] *νεανίσκου πολλὰ λαλοῦντος*[13]*, ἔφη, Τὰ ὦτά σου εἰς τὴν γλῶσσαν συνερρύηκεν*[14]*.* 6. *Πρώτῃ καὶ ὀγδοηκοστῇ ὀλυμπιάδι φασὶ τὴν Αἴτνην ῥυῆ-*

---

1) s. XIII, b, 45, 1. 2) mit *und*. 3) s. XIV, c, 7, 14. 4) im Deutschen das substant. mit *mit*. 5) v. *συνίστημι*. 6) *er*, nämlich Sokrates. 7) v. *ἐνίστημι*. 8) v. *προτίθημι*, mit *wenn*. 9) mit *nachdem*, oder wie das lat. natus. 10) s. bei *πρῶτος*. 11) s. VIII, 30, 13. 12) aus Kitium. 13) mit *als*. 14) *ν* vor *ρ* zu *ρ*.

ναι, ὅτε[1]) καὶ Φιλόνομος καὶ Καλλίας οἱ Καταναῖοι τοὺς ἑαυτῶν πατέρας ἀράμενοι[2]) διὰ μέσης τῆς φλογὸς ἐκόμισαν, τῶν ἄλλων κτημάτων καταφρονήσαντες[3]). 7. Εἰ μὴ τηροῦμεν τοὺς νόμους, λέλυται πάντα, ἀνέῳκται[4]), συγκέχυται, τῶν πονηροτάτων[5]) καὶ ἀναιδεστάτων ἡ πόλις γίγνεται. 8. Χρύσιππος ἔφησε τὴν ὁμίχλην εἶναι νέφος διακεχυμένον ἢ ἀέρα πάχος ἔχοντα. 9. Πολλοὶ τὸν[6]) νῦν βίον ὀνειροπολοῦντες[7]) καὶ ὑπνώττοντες[7]), πρὶν ἐνθάδε ἐξέγρεσθαι[8]), εἰς Ἅιδου[9]) πρότερον ἀφικόμενοι[10]) τελέως ἐπικατέδαρθον[11]). 10. Ὅστις τοῦ ζῆν καὶ τοῦ φρονεῖν μάλιστά ἐστι κηδεμών, ἐγρήγορε χρόνον ὡς πλεῖστον[12]), τὸ[13]) πρὸς[13]) ὑγίειαν αὐτοῦ μόνον φυλάττων[14]). 11. Ἀριστοτέλης ἐρωτηθείς, τί ἐστιν ἐλπίς, Ἐγρηγορότος, εἶπεν, ἐνύπνιον. 12. Ὁ[15]) κατὰ τῶν ἑαυτοῦ φίλων δολίας μηχανὰς συντιθεὶς αὐτὸς ἐν ταῖς ἐνέδραις τῶν κινδύνων ἐμπεσεῖται. 13. Ἀντισθένης αἱρετώτερον ἔφη εἰς κόρακας ἐμπεσεῖν ἢ εἰς κόλακας· οἱ μὲν γὰρ ἀποθανόντος τὸ σῶμα, οἱ δὲ ζῶντος τὴν ψυχὴν λυμαίνονται. 14. Σωκράτης Ξενοφῶντα ἀφ' ἵππου πεσόντα[16]) ἐν τῇ κατὰ Δήλιον μάχῃ διέσωσεν ὑπολαβών[14]). 15. Λίαν φιλῶν[17]) σεαυτὸν οὐχ ἕξεις φίλον. 16. Ζήνων[18]) πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκούειν, Νεανίσκε, εἶπεν, ἡ φύσις ἡμῖν γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν, ἵνα διπλάσιον, ὧν[19]) λέγομεν, ἀκούωμεν. 17. Σωκράτης ἔλεγεν, ὅτι ῥᾷον ἄν[20]) τις[21]) διάπυρον ἄνθρακα ἐπὶ τῆς γλώσσης κατάσχοι ἢ λόγον ἀπόρρητον. 18. Πάντα χρὴ ποιεῖν, ὥστε ἀρετῆς καὶ φρονήσεως ἐν τῷ βίῳ μετασχεῖν. 19. Οὐδὲν ζῷον γεγένηται τοιοῦτον, ὃ τὸ μὲν εἶδος

---

1) im Deutschen das demonstr. *damals*. 2) mit *und*; α aus αι. 3) mit *und* an das vorhergehende angereiht, oder durch das substant. mit *mit*. 4) v. ἀνοίγω. 5) wegen des gen. s. bei γίγνομαι. 6) s. νῦν. 7) mit *welche*, s. XIII, a, 19, 5. 8) man beachte den Accent! 9) über diesen gen. s. XIV, b, 11, 1. 10) v. ἀφικνέομαι, mit *und*. 11) v. ἐπικαταδαρθάνω. 12) s. ὡς. 13) *Das Bedürfniss für*. 14) mit *indem*. 15) zu συντιθείς. 16) mit *als*. 17) mit *wenn*. 18) aus Kitium. 19) statt τούτων, ἅ. 20) s. ἄν, 3. 21) *mancher*.

ἔσχηκέ τι ἑτέρου ζῴου, τὴν δὲ διάνοιαν ἄλλου[1]), ἀλλ' ἀεὶ τοῦ αὐτοῦ τό τε σῶμα καὶ ἡ ψυχή. **20.** Δεῖ τοὺς μέλλοντας ἀγαθοὺς ἄνδρας γενήσεσθαι τὸ μὲν σῶμα γυμνασίοις ἀσκεῖν, τὴν δὲ ψυχὴν παιδεύειν. **21.** Φασὶ παρ' Ἕλλησι Λίνον πρῶτον εὑρετὴν γενέσθαι ῥυθμῶν καὶ μέλους. **22.** Οὐκ ἔστ' οὐδὲ εἷς, ᾧ μὴ κακόν τι γέγονεν ἢ γενήσεται. **23.** Βίων ἔφη δεῖν τὸν ἀγαθὸν ἄρχοντα παυόμενον[2]) τῆς ἀρχῆς μὴ πλουσιώτερον ἀλλ' ἐνδοξότερον γεγονέναι. **24.** Θαλῆς πρὸς τὸν πυθόμενον[3]), τί πρότερον ἐγεγόνει, νὺξ ἢ ἡμέρα, Ἡ νύξ, ἔφη, μιᾷ ἡμέρᾳ[4]) πρότερον. **25.** Τίς ἀγνοεῖ, ὅτι πολλαὶ πράξεις ἤδη τοιαῦται γεγόνασιν, ἃς[5]) ἐν ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι[5]) συμφοράς, ὕστερον δὲ τὰς αὐτὰς[6]) ταύτας ἔγνωσαν[7]) μεγίστων ἀγαθῶν αἰτίας γεγενημένας[8]). **26.** Τὰ παραδείγματα τὰ γεγενημένα τῶν ἁμαρτημάτων ἱκανὰ τοῖς σώφροσι τῶν ἀνθρώπων, ὥςτε μηκέτι ἁμαρτάνειν.

g. αἱρέω, εἰπεῖν, ἔρχομαι, ἐσθίω, ὁράω, πάσχω, πίνω, τρέχω, φέρω.

1. Καὶ βραδὺς εὔβουλος εἷλεν[9]) ταχὺν ἄνδρα διώκων[10]). **2.** Ὁ πόλεμος, ὑφελὼν[11]) τὴν εὐπορίαν τοῦ[12]) καθ' ἡμέραν[12]), βίαιος διδάσκαλος[13]). **3.** Πενθεσίλειάν φασιν ἀριστεύσασαν[14]) ἐν τῇ παρατάξει καταστρέψαι τὸν βίον ἡρωϊκῶς ὑπ' Ἀχιλλέως ἀναιρεθεῖσαν. **4.** Ἐνδυμίωνι Ζεὺς ἔδωκεν, ὃ βούλοιτο, ἑλέσθαι, ὁ δὲ αἱρεῖται κοιμᾶσθαι διὰ παντὸς[15]) ἀθάνατος καὶ ἀγήρως μένων[16]). **5.** Ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιουμένου[17]), Θεόκριτος ἐρωτώμενος[17]) ὑπ' αὐτοῦ, ποῖά ἐστι τὰ καλῶς εἰρημένα, ἔφη, Ἃ παρέ-

---

1) wie man von Menschen sagt, daß sie Wölfe in Schafskleidern sind. Vgl. g, 11. 2) mit *wenn*. 3) v. πυνθάνομαι. 4) um wieviel? 5) *dass von ihnen —, sie seien*. 6) mit *von*. 7) v. γιγνώσκω. 8) mit *dass*. 9) s. XIII, d, 10, 11. 10) mit *dem er*. 11) mit *welcher*. 12) *des täglichen Bedarfes* s. X, 9, 10. 13) sc. ἐστίν. 14) mit *und*. 15) s. διά. 16) im inf. mit *und* an das vorhergehende anzureihen. 17) mit *als*.

λιπες. 6. Χρὴ ἐμμένειν τοῖς εἰρημένοις. 7. Ὅστις νέος[1]) ὢν[1]) μουσῶν ἀμελεῖ, τόν τε παρελθόντ᾽ ἀπόλωλε[2]) χρόνον[3]), καὶ τὸν μέλλοντα τέθνηκεν. 8. Ἐὰν τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον περὶ τῶν μελλόντων βουλεύσῃ. 9. Κηφισόδωρος ἔλεγεν, ὅτι οὐδεὶς οὐσίαν, ἣν μὲν αὐτὸς ἐκτήσατο, κατέφαγεν, ἣν δὲ[4]) παρ᾽ ἄλλου παρέλαβεν. 10. Σόλωνος ἦν νόμος, Ὁ τὰ πατρῷα κατεδηδοκὼς ἄτιμος ἔστω, καὶ ὁ ἀργὸς ὑπεύθυνος ἔστω παντὶ τῷ βουλομένῳ γράφεσθαι.

11. Οὐκ ἔστ᾽ ἀλώπηξ[5]) ἡ μὲν εἴρων τῇ φύσει,
Ἡ δ᾽ αὐθέκαστος, ἀλλ᾽ ἐὰν τρισμυρίας
Ἀλώπεκάς τις συναγάγοι, μίαν φύσιν
Ἁπαξάπασιν[6]) ὄψεται, τρόπον θ᾽ ἕνα.

12. Αἱ Γοργόνες τοὺς ἰδόντας λίθους[7]) ἐποίουν. 13. Ἀνάχαρσις ἔφη θαυμασιώτατον ἑωρακέναι παρὰ τοῖς Ἕλλησιν, ὅτι τὸν μὲν καπνὸν ἐν τοῖς ὄρεσι καταλείπουσι, τὰ δὲ ξύλα εἰς τὴν πόλιν κομίζουσιν. 14. Πλάτων νέος[1]) ὢν[1]) οὕτως ἦν αἰδήμων καὶ κόσμιος, ὥστε μηδέποτε ὀφθῆναι γελῶν ὑπεράγαν. 15. Τὸ σύνηθες οὐδαμοῦ παροπτέον. 16. Οὐκ ἔστιν εἰπεῖν ζῶντα[8]), Τοῦτ᾽ οὐ πείσομαι. 17. Εἰ δείν᾽ ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ. 18. Ἀλγεινὸν τῷ πεποιηκότι καλῶς ἡ τοῦ πεπονθότος ἀγνωμοσύνη. 19. Ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπονθόσιν. 20. Τειρεσίας ἀπὸ Τιλφούσσης κρήνης πιών[9]), αὐτοῦ[10]) τὸν βίον κατέστρεψεν. 21. Δραμεῖν καὶ βαλεῖν καὶ πηδῆσαι ἱκανωτέρους οὐδεμία τέχνη γεωργίας[11]) παρέχεται. 22. Τὸ τῶν Ἀμαζόνων ἔθνος τοσοῦτον ἀνδρείᾳ διήνεγκεν[12]), ὥστε μὴ μόνον πολλὴν χώραν ὅμορον καταδραμεῖν, ἀλλὰ καὶ πολλὴν τῆς Εὐρώπης καὶ τῆς Ἀσίας καταστρέψασθαι. 23. Ἐὰν σπόγγον ἐλαιούμενον καθῇ[13]) τις εἰς οἶνον ὕδατι κεκραμένον[14]), ἀποχωρίσει τὸ

1) *als J.* 2) v. ἀπόλλυμι. 3) *die — Zeit hindurch, in der — Zeit.* 4) im Deutschen vor das rel. *wohl aber ein Vermögen.* 5) verbinde für das Deutsche: ἡ μὲν ἀλώπηξ. 6) durch *bei.* 7) zu was? 8) mit *so lange*; s. II, 2, 2. 9) mit *als.* 10) s. αὐτός. 11) gen. comp. 12) v. διαφέρω. 13) v. καθίημι. 14) v. κεράννυμι.

ὕδωρ τοῦ οἴνου, ἀναδραμόντος[1]) τοῦ ὕδατος εἰς τὸν σπόγγον. **24.** Ἀνάχαρσις ὑπὸ μειρακίου παρὰ πότον ὑβρισθείς[2]), ἔφη, Μειράκιον, ἐὰν νέος ὢν[3]) τὸν οἶνον οὐ[4]) φέρῃς, γέρων γενόμενος[5]) ὕδωρ οἴσεις. **25.** Θάρσει, τέκνον, ῥᾷον νόσον μεθ' ἡσυχίας οἴσεις. **26.** Ἀνὴρ ἐπιεικὴς ἀπολέσας[6]) τι ῥᾷστα οἴσει. **27.** Λυγκεὺς ὀξυδερκίᾳ διήνεγκεν[7]), ὥς καὶ τὰ[8]) ὑπὸ γῆν θεωρεῖν. **28.** Ἔνεγκ' ἀτυχίαν καὶ βλάβην εὐσχημόνως. **29.** Αἰνείας σώσας[9]) μὲν τοὺς πατρῴους καὶ μητρῴους θεούς, σώσας[9]) δὲ καὶ αὐτὸν τὸν πατέρα, δόξαν εὐσεβείας ἐξηνέγκατο, ὥστε καὶ οἱ πολέμιοι μόνῳ ἐκείνῳ[10]), ὧν ἐκράτησαν ἐν Τροίᾳ, ἔδοσαν[11]) μὴ συληθῆναι. **30.** Ἀνθρώπῳ νηχομένῳ φερομένου[12]) τοῦ ὕδατος[12]) ἡ ἀντιτυπία τῶν ποδῶν καὶ τῶν χειρῶν στάσις γίγνεται τοῦ[13]) μὴ συγκατενεχθῆναι[13]) τῷ ὕδατι. **31.** Διογένης ἐνόμιζε συμπεριφέρεσθαι[14]) τοῖς φανεροῖς ἄστροις ἀφανεῖς λίθους· πίπτοντας[15]) δὲ πολλάκις ἐπὶ τῆς γῆς σβέννυσθαι[16]), καθάπερ τὸν ἐν Αἰγὸς ποταμοῖς πυρωδῶς κατενεχθέντα ἀστέρα[17]) πέτρινον.

---

1) mit *indem*. 2) mit *als*. 3) s. XVIII, g, 7, 1. 4) οὐ nicht μή, weil die Negation nur zu φέρῃς gehört. 5) mit *wenn*. 6) mit *wenn*, v. ἀπόλλυμι. 7) s. XVIII, g, 22, 12. 8) *die Gegenstände*, s. X, 9, 10. 9) mit *da*. 10) im Deutschen ist zu ergänzen: *von denen*. 11) v. δίδωμι. 12) *in Wasser, welches*; wörtlich? 13) mit *dass*. 14) ergänze dazu *um uns*. 15) mit *und*. 16) XIV, c, 7, 14. 17) Man zeigte bei Aegospotami in Thrazien einen Meteorstein, dessen Fall Anaxagoras vorhergesagt habe.

Aesopische Fabeln.

1. Die Löwen und die Hasen.

Δημηγορούντων[1]) τῶν δασυπόδων καὶ τὸ ἴσον ἀξιούντων[1]) πάντας ἔχειν, οἱ λέοντες ἔφασαν[2]), Οἱ λόγοι ὑμῶν, ὦ δασύποδες, ὀνύχων τε καὶ ὀδόντων, οἵων[3]) ἡμεῖς ἔχομεν, δέονται.

2. Das Kind und Tyche.

Ἐγγὺς φρέατος παῖς τις ἐκοιμᾶτο. ἐπιστᾶσα[4]) δὲ αὐτῷ ἡ Τύχη ἐβόα, Ἀνάστα[5]) καὶ ἄπελθε[6]) ἐντεῦθεν, μή πως κάτω τοῦ φρέατος πέσῃς[7]), καὶ ἐμὲ τὴν Τύχην καταμέμψωνται πάντες.

3. Der Pfau und der Kranich.

Ἤριζεν εὐφυεῖ γεράνῳ ταὼς χρυσόπτερος, σκώπτουσα[8]) τὴν χροιὰν τῆς γεράνου. ἡ δ᾽ ἔφη, Ἀλλ᾽ ἐγὼ ἄστρων ἐγγὺς ἵπταμαι καὶ φωνῶ, σὺ δέ, ὡς ἀλέκτωρ, χαμαὶ πτερύσσῃ οὐδ᾽ ἄνω φαίνῃ.

4. Das Wiesel.

Γαλῆ εἰσελθοῦσα[9]) εἰς χαλκέως ἐργαστήριον, τὴν ἐκεῖ κειμένην ῥίνην περιέλειχε. συνέβη[10]) δὲ ἐκτριβομένης[11]) τῆς γλώσσης πολὺ αἷμα φέρεσθαι. ἡ δὲ ἐτέρπετο, ὑπονοοῦσά[12]) τι τοῦ σιδήρου ἀφαιρεῖσθαι, μέχρι παντελῶς ἀπέβαλε τὴν γλῶσσαν.

---

1) mit *als*. 2) v. φημί. 3) statt τοιούτων, οἵους. 4) v. ἐφίστημι, mit *und*. 5) v. ἀνίστημι. 6) v. ἀπέρχομαι. 7) v. πίπτω. 8) mit *und* an das Vorhergehende anzureihen. 9) v. εἰςέρχομαι, mit *und*. 10) v. συμβαίνω. 11) mit *da*. 12) mit *indem*.

5. Der Rabe und der Schwan.

Ἑωρακὼς[1]) τὸν κύκνον ὁ κόραξ ἐζήλου τοῦ χρώματος. οἰηθεὶς[2]) δὲ εἶναι τοιοῦτον οἷς[3]) ἀπελούετο, τοὺς βωμοὺς ἐκλιπὼν[4]), ὅθεν ἐτρέφετο, λίμναις καὶ ποταμοῖς ἐνδιέτριβε. καὶ τὸ μὲν σῶμα φαιδρύνων[5]) οὐκ ἤμειβε, τροφῆς δὲ ἀπορῶν[2]) διεφθείρετο.

6. Der Esel und die Zikaden.

Ὄνος ἀκούσας[6]) τεττίγων ᾀδόντων, ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ, καὶ ζηλώσας[7]) αὐτῶν τὴν ἡδύτητα εἶπε, Τί σιτούμενοι[8]) τοιαύτην φωνὴν ἀφίετε; Τῶν δὲ εἰπόντων[7]) δρόσον, ὁ ὄνος προςπαραμένων[4]) τῇ δρόσῳ, λιμῷ διεφθάρη.

7. Die Rose und das Amarant.

Ῥόδῳ παραφυὲν[9]) ἀμάραντον ἔφη πρὸς αὐτό, Οἷον ἄνθος εὐπρεπὲς εἶ, ποθητὸν καὶ θεοῖς καὶ ἀνθρώποις· μακαρίζω σε τοῦ κάλλους καὶ τῆς εὐωδίας. τὸ δὲ εἶπεν, Ἐγὼ μέν, ὦ ἀμάραντον, πρὸς ὀλίγον καιρὸν ζῶ, καί, κἂν[10]) μηδεὶς κόψῃ με, τήκομαι· σὺ δὲ ἀνθεῖς ἀεὶ καὶ ζῇς οὕτω νέον.

8. Der Fuchs und der Löwe.

Ἀλώπηξ λέοντι συνῆν ἐν ὑπηρέτου προσχήματι· καὶ ἡ μὲν ἄγρας ἐμήνυεν, ὁ δὲ ἐμπίπτων[4]) ἐλάμβανεν. Ἑκατέρῳ τοίνυν πρὸς τὴν ἀξίαν διῃρεῖτο μερίς. ζηλοτυπήσασα[7]) δὲ ἡ ἀλώπηξ τῶν πλεόνων τὸν λέοντα, θηρᾶν ἀντὶ τοῦ μηνύειν ᾑρεῖτο. καὶ πειρωμένη[11]) ποίμνης τι λαβεῖν, κατέστη[12]) πρώτη τοῖς θηρῶσιν εἰς θήραμα.

9. Der Fuchs und der Ziegenbock.

Τράγος ἐν θέρει σφοδρῶς διψήσας[13]) κατῆλθεν[14]) εἰς βαθύκρημνον ὕδωρ πιεῖν[15]). πιὼν[16]) δὲ καὶ χορτασθεὶς οὐκ ἠδύνατο ἀνελθεῖν καὶ μετενόει καὶ βοηθὸν ἐζήτει. ἀλώπηξ δὲ τοῦτον ἰδοῦσα[17]) ἔφη, Ὦ ἀνόητε, εἰ τοσαύτας φρένας

---

1) mit *als*, v. ὁράω. 2) mit *weil*. 3) *durch das*, *womit*. 4) mit *und*. 5) mit *dadurch*, *dass*. 6) mit *als*. 7) mit *da*. 8) im Deutschen durch ein Substantiv. 9) mit *welches*. 10) aus καὶ ἄν, s. ἄν, 1. 11) mit *als nun*. 12) v. καθίστημι. 13) mit *welcher*. 14) v. κατέρχομαι. 15) v. πίνω. 16) mit *nachdem*. 17) mit *welcher*, v. ὁράω.

εἶχες[1]), ὅσας ἐν τῷ πώγωνι τρίχας, πρότερον οὐκ ἂν[1]) κατέβης[2]), ἢ μὴ τὴν ἄνοδον ἐσκέψω.

10. Die Frösche.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης[3]) τῆς λίμνης, ἐκείνην καταλιπόντες[4]) ἐπεζήτουν ἑτέραν. καὶ δὴ βαθεῖ περιέτυχον[5]) φρέατι, ὅπερ ἰδὼν[6]) ἅτερος θατέρῳ φησί, Συγκατέλθωμεν[7]), ὦ οὗτος[8]), εἰς τόδε τὸ φρέαρ. ὁ δὲ ὑπολαβὼν[4]) εἶπεν, Ἂν[9]) οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα[10]);

11. Der Fuhrmann und Herakles.

Βοηλάτης ἐκ κώμης ἅμαξαν ἄγων[11]), καὶ ταύτης ἐμπεσούσης[11]) εἰς φάραγγα κοιλώδη, δέον[12]) βοηθεῖν, ἀργὸς ἵστατο τῷ Ἡρακλεῖ προσευχόμενος[13])· ἐκεῖνον γὰρ ἐκ πάντων ἀσπαζόμενος[14]) ἐτίμα. ὁ δὲ θεὸς ἐπίστας[14]) εἶπε, Τῶν τροχῶν ἅπτου, καὶ τοὺς βόας νύσσε, καὶ τότε τῷ θεῷ εὔχου, ὅταν καὐτός τι ποιῇς· μὴ μέντοιγε μάτην εὔχου.

12. Der Oelbaum und der Feigenbaum.

Ἐλαία κατεγέλα συκῆς, ὡς[15]) αὐτὴ μὲν ἀνθοῦσα[15]) πρὸς ἅπασαν ὥραν, συκῆς δὲ τὸ ἄνθος συμμεταβαλλούσης[15]) ταῖς ὥραις. αἷς[16]) καταρρυεῖσα[17]) χιὼν τὴν μὲν ἐλαίαν κομῶσαν εὑροῦσα[18]), τοῖς θαλλοῖς ἐνιζάνουσα[4]), σὺν τῷ κάλλει καθάπαξ ταύτην διέφθειρεν, τὴν δὲ φύλλων εὑροῦσα[18]) γυμνὴν οὐδὲν ἠδίκει, πρὸς γῆν ὑπορρέουσα[19]).

13. Die Schildkröte und der Hase.

Χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον· καὶ δὴ προθεσμίαν στήσαντες[20]) καὶ τόπον ἀπηλλάγησαν. ὁ μὲν οὖν

---

1) s. *ἄν*, 4. 2) v. *καταβαίνω*. 3) mit *als*. 4) mit *und*. 5) v. *περιτυγχάνω*. 6) v. *ὁράω*, im Deutsch. ein subst. 7) v. *συγκατέρχομαι*, den conj. durch *lass uns*. 8) s. bei *οὗτος*. 9) s. *ἄν*, 1. 10) v. *ἀναβαίνω*. 11) mit *als* (*ἐμπίπτω*). 12) mit *während*; der Modus im Deutschen ist das plusqpf. conj.; s. XVIII, e, 6, 11. 13) mit *und* an das Vorhergehende anzureihen. 14) mit *und* (*ἐφίστημι*). 15) mit *da* und dem conj. bei d. verbum. 16) durch *auf* und das demonstr. 17) v. *καταρρέω*, mit *und*. 18) mit *da*, v. *εὑρίσκω*. 19) mit *indem*. 20) v. *ἵστημι*, mit *und*.

λαγωὸς διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας[1]) τοῦ δρόμου, πεσὼν[2]) παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο, ἡ δὲ χελώνη συνειδυῖα[3]) ἑαυτῇ τὴν βραδύτητα, οὐ διέλιπε τρέχουσα[4]), καὶ οὕτω κοιμώμενον τὸν λαγωὸν παραδραμοῦσα[5]) εἰς τὸ βραβεῖον τῆς νίκης ἀφίκετο[6]).

14. Der Ziegenhirt und die Ziegen.

